κλήματι, παρέστη αὐτῷ ὡς πάντη ἀθῶος, καὶ ὁ νέος συνήγορος ἐνθέρμως ὑπερήσπισεν αὐτόν. Πρῶτον τούτου ἐπακολούθημα ἦν, ὅτι κατέχεαν αὐτοῦ δεινὰς κατηγορίας, ἔπειτα δ' ἔμελλε δοῦναι λόγον καὶ ἐνώπιον τοῦ νόμου. Ὁ ἅγιος Γρηγόριος ἐν ἄλλῃ περιστάσει ἔγραψε πρὸς αὐτόν: «Οὐδὲ γὰρ πολλὰ συγγεγόναμεν ἀλλήλοις (καίτοι ἐχρῆν παντὸς μᾶλλον, ἢ δι' ἡμᾶς αὐτούς, καὶ διὰ τὴν ἐκ πατέρων φιλίαν)»(1). Νῦν παρεκάλεσεν ὑπὲρ αὐτοῦ τὸν Ὕπαρχον Σωφρόνιον. «Θᾶττον ἂν ἤλπισα ἕν τι τῶν ἀπίστων καὶ παραδόξων, ἢ τοῦτον ἀγενές τι πράξειν ἐπὶ χρήμασιν, ἢ διανοήσασθαι· τοσοῦτον αὐτῷ τὸ παρὰ πάντων συγκεχωρημένον ἐπὶ καλοκαγαθίᾳ καὶ τὸ πρεσβυτέραν τῆς ἡλικίας ἔχειν τὴν φρόνησιν . . . Ἀλλά σοι μὴ ἀνεκτὸν φανήτω περιϊδεῖν αὐτὸν ταῖς συκοφαντίαις παρασυρόμενον» (2). —

Τῷ 372 ὁ Ἀμφιλόχιος, κατὰ προτροπὴν τοῦ ἁγίου Γρηγορίου, ἀπεχώρησεν εἰς τὴν ἔρημον (3). Ἐνταῦθα ἀσχολίαι αὐτοῦ ἦσαν αἱ προσευχαί, ἡ ἀνάγνωσις τῆς ἁγίας Γραφῆς, καὶ ἡ νηστεία. Αὐτὴ ἡ θέσις τῆς ἐρημίας ἦν τοιαύτη, ὥστε, ἔσθ' ὅτε καὶ ἄκων, ἐνήστευεν. Ἡ ἔρημος ἦν πλουσία λαχάνων καὶ ἀνθέων· ἀλλ' ἄρτον ἀπέκειτο αὐτῷ προσδοκᾷν ἑτέρωθεν. Ὁ ἅγιος Γρηγόριος ἔπεμπεν ἄρτον τῷ ἐρημίτῃ, καί ποτε ἀστεϊζόμενος, ἔγραψεν αὐτῷ: «Ἢ τοίνυν μεταδίδοτε τούτων (τῶν λαχάνων) ἡμῖν ἀφθονώτερον, ἢ ἄλλο μὲν οὐδὲν ἀπειλήσομεν, τὸν δὲ σῖτον ἐφέξομεν, καὶ εἰσόμεθα, εἰ ὄντως δρόσῳ μόνῃ τρέφονται τέττιγες» (4).

Τελευτήσαντος (τῷ 375) τοῦ ἐπισκόπου Ἰκονίου Φαύστου(5), ὁ μακάριος Ἀμφιλόχιος, «τοῖς ἀφύκτοις δικτύοις τῆς χάριτος σαγηνευθείς, καὶ ἀχθεὶς εἰς τὰ μέσα τῆς Πισιδίας» (6), ἐχειροτονήθη ἐπίσκοπος Ἰκονίου, τότε οὔσης Μητροπόλεως τῆς Λυκαονίας, διὸ δὴ καὶ αὐτῷ ἀπέκειτο ἐπιμελεῖσθαι ἁπασῶν τῶν Ἐκκλησιῶν τῆς Διοικήσεως (7). Τοῦτο κατεβάρυνε τὴν ψυχὴν τοῦ Ἀμφιλοχίου, ᾧ πρὸς παραμυθίαν ἔγραψεν ὁ Μ. Βασίλειος: « . . . . . . Εἰ μὲν γὰρ αὐτὸς ἦς ὁ

(1) Ἐπιστ. ί.
(2) Ἐπιστ. κβ'. Σωφρονίῳ ὑπάρχῳ.
(3) Ποιήμ. Γρηγορ. V. 245.
(4) Ἐπ. κς'.
(5) Βασίλ. ἐπ. ρλγ'.
(6) Βασίλ. ἐπ. ρξά.
(7) Θεοδώρ. ἐκκλ. ἱστορ. δ'. 30.

μέλλων φέρειν τὸ βάσταγμα τοῦτο, οὐδὲ οὕτως ἂν ἦν βαρύ, ἀλλὰ φορητὸν παντελῶς. Εἰ δὲ Κύριος ὁ συνδιαφέρων, ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου» ([1]). Οὐ πολλοῦ χρόνου παρῳχηκότος μετὰ τὴν χειροτονίαν αὐτοῦ, ἀπῆλθεν εἰς Καισάρειαν συμβουλευσόμενος τῷ Βασιλείῳ, καὶ ἐφείλκυσε τὸ σέβας καὶ τὴν ἀγάπην ἁπάντων τῶν Καισαρέων. Ὁ ἅγιος Βασίλειος, προσκαλῶν αὐτὸν (τῷ 374) παρ' ἑαυτῷ, ἵνα παραστῇ ἐν τῇ κατὰ Καισάρειαν τελουμένῃ ἑορτῇ τοῦ ἁγίου Εὐψυχίου, ἔγραφεν αὐτῷ: «Πέπεισο γάρ, τιμιώτατέ μοι καὶ ποθεινότατε ὡς ἀληθῶς, ὅτι πολλῶν εἰς πεῖραν ἐλθὼν ὁ παρ' ἡμῖν λαός, τῆς οὐδενὸς οὕτως ἀντέχεται ἐπιτυχίας, ὡς τῆς σῆς παρουσίας. Τοιοῦτον κέντρον ἀγάπης ἐκ τῆς μικρᾶς ἐκείνης συντυχίας ἐναφῆκας· ἵνα οὖν καὶ ὁ Κύριος δοξασθῇ, καὶ οἱ λαοὶ εὐφρανθῶσι, καὶ τιμηθῶσι μάρτυρες, καὶ ἡμεῖς οἱ γέροντες τῆς ὀφειλομένης ἡμῖν παρὰ τέκνου γνησίου τύχωμεν θεραπείας, καταξίωσον ἀόκνως μέχρις ἡμῶν διαβῆναι καὶ προλαβεῖν τὰς ἡμέρας τῆς συνόδου· ὥστε ἐπὶ σχολῆς ἡμᾶς ἀλλήλοις συγγενέσθαι καὶ συμπαρακληθῆναι διὰ τῆς κοινωνίας τῶν πνευματικῶν χαρισμάτων. Ἔστι δὲ ἡ ἡμέρα (τῆς μνήμης τοῦ ἁγίου Εὐψυχίου) τῇ πέμπτῃ τοῦ Σεπτεμβρίου. Διὸ παρακαλοῦμεν πρὸ τριῶν ἡμερῶν ἐπιστῆναι» ([2]). Ἐν τῇ δευτέρᾳ ταύτῃ κατὰ τὴν Καισάρειαν διατριβῇ αὐτοῦ παρεκάλεσε τὸν μέγαν Βασίλειον γράψαι περὶ τοῦ ἁγίου Πνεύματος πρὸς ἔλεγχον τῶν Πνευματομάχων καὶ κατάπαυσιν διαφόρων ὑβριστικῶν φημῶν ([3]). Ὁ Ἀμφιλόχιος ἐκτὸς τῆς προσωπικῆς συμβουλίας οὐχ ἅπαξ παρεκάλεσε τὸν μέγαν Βασίλειον καὶ ἐγγράφως διαλῦσαι τὰς περὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας ἀμφιβολίας αὐτοῦ. Κατὰ παράκλησιν αὐτοῦ ἐγράφη πρὸς τοῖς ἄλλοις ἡ κανονονικὴ ἐπιστολὴ τοῦ μεγάλου τῆς Καισαρείας ποιμένος([4]). Κατὰ δὲ τὸ ἐπιὸν ἔτος προσεκάλεσεν ὁ Οὐρανοφάντωρ παρ' ἑαυτῷ τὸν Ἀμφιλόχιον, ᾧ, ἕνεκα τῆς ἑαυτοῦ ἀσθενείας, ἐπιστεύσατο τὴν Ἐκκλησίαν τῆς Καισαρείας ([5]). Ὁ Ἀμφιλόχιος, ἀσθενὴς ὢν καὶ αὐτός, ἀλλ' ἀγνοῶν τὴν ἀσθένειαν τοῦ Βα-

([1]) Βασίλ. ἐπ. ρξά.
([2]) Ἐπιστ. ρος'.
([3]) Βασίλ. ὁ Μ. ἐν τῷ βιβλ. περὶ τοῦ ἁγίου Πνεύματος. §. 1.—
([4]) Ἐπ. ρπ'. καὶ ρπβ'.
([5]) Ἐπ. 192.

σιλείου, προσεκάλεσεν αὐτὸν εἰς τὴν ἐν Ἰκονίῳ Σύνοδον. Ὁ Οὐρανοφάντωρ παρεκάλεσεν αὐτὸν περιμεῖναι, ἕως ἂν ἀναρρώσῃ (1)· ἀλλ' ἡ ἀσθένεια διήρκεσε καθ' ἅπαν τὸ ἔτος. Διὸ ἔπεμψεν εἰς τὴν Σύνοδον τὸ περὶ τοῦ ἁγίου Πνεύματος βιβλίον αὐτοῦ. Ἐν τῇ Συνόδῳ (τῷ 376) κατεκρίθησαν οἱ Πνευματομάχοι (2). Μετὰ τοῦτο ὁ μακάριος Ἀμφιλόχιος πρὸς ἐπιτυχῆ πάλην κατὰ τῶν Εὐνομιανῶν ἐδεήθη τοῦ Βασιλείου λῦσαι ζητήματά τινα τῆς τοῦ Εὐνομίου διαλεκτικῆς. Ὁ Βασίλειος οὕτως ἠγάπα τήν τε ἀλήθειαν καὶ τὸν Ἀμφιλόχιον, ὥστε, καίπερ βαρέως ἀσθενῶν, ἔγραψεν αὐτῷ ἀποκρίσεις (3). Τῷ 381 ὁ ἅγιος Ἀμφιλόχιος παρῆν ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ, ἧς οἱ πατέρες ἀνέθεντο αὐτῷ ἀποκαταστῆσαι τὴν καθαρὰν πίστιν ἐν ταῖς ἐπαρχίαις τῆς Ἀσίας (4). Τῷ 383 ἀφίκετο πάλιν εἰς Κωνσταντινούπολιν. Ὁρμώμενος ἐκ θείου ζήλου πρός τε τὴν ἀλήθειαν καὶ τὴν σωτηρίαν τοῦ πλησίον, παρεκάλεσε τὸν Αὐτοκράτορα Θεοδόσιον ἐξελάσαι ἐκ τῶν πόλεων τοὺς συλλόγους τῶν Ἀρειανῶν. Ὁ Θεοδόσιος ἀπηνεστέραν ὑπολαβὼν τὴν αἴτησιν, οὐκ ἐδέξατο. Ὁ δὲ Ἱεράρχης ἰδών, ὅτι οἱ αἱρετικοὶ ἀπολαύουσιν ἐλευθερίας πρὸς βλάβην τῆς Ἐκκλησίας (5), μνήμης ἀξίαν ἐξεῦρε μηχανήν. Γενόμενος εἴσω τῶν βασιλείων, καὶ ἰδὼν παρεστῶτα τῷ βασιλεῖ τὸν υἱὸν αὐτοῦ Ἀρκάδιον (οὐ πρὸ πολλοῦ δὲ οὗτος ἀνηγόρευτο βασιλεύς), ἠσπάσατο μὲν μετὰ τῆς προσηκούσης τιμῆς τὸν βασιλέα, τὸν δὲ υἱὸν αὐτοῦ κατέλιπεν ἀγέραστον. Ὁ Θεοδόσιος νομίσας, ὅτι ὁ Ἀμφιλόχιος ἐπελάθετο, προσέταξεν αὐτῷ ἀποδοῦναι τῷ Ἀρκαδίῳ τὸν ὀφειλόμενον ἀσπασμόν. «Ἱκανή», ἀπεκρίνατο ὁ Ἀμφιλόχιος, ἡ παρ' αὐτοῦ προσενεχθεῖσα τῷ βασιλεῖ τιμή». Ὁ Αὐτοκράτωρ δυσχεράνας, ἐκάλει τὴν ἀτιμίαν τοῦ παιδὸς οἰκείαν παροινίαν, καὶ ἐκέλευσεν ἐκβληθῆναι αὐτὸν ὑβριστικῶς. Τότε ὁ ἱεράρχης εἶπεν: «ὁρᾷς, ὦ βασιλεῦ, ὅπως σὺ φέρεις τὴν τοῦ παιδὸς ἀτιμίαν, ἀλλὰ τοῖς εἰς τοῦτον παροινοῦσι χαλεπαίνοις πικρῶς;

(1) Ἐπ. 193. 210.

(2) Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐπιστολὴ Συνοδικὴ in Patrolog. Migne T. 39. pag. 93—98.—

(3) Βασίλ. ἐπ. σκγ΄.—σκή.—

(4) Σωκρ. ἐ. 8. Σωζόμ. ζ΄. 9. Θεοδώρ. ἐ. 8.

(5) Σωζόμ. ζ΄. 6.

πίστευον δὴ οὖν καὶ τὸν τῶν ὅλων Θεὸν τοὺς τὸν Υἱὸν Αὐτοῦ τὸν Μονογενῆ βλασφημοῦντας βδελύττεσθαι, καὶ ὡς ἀχαρίστους περὶ τὸν Σωτῆρα καὶ Εὐεργέτην γεγενημένους μισεῖν». Τότε ὁ βασιλεὺς ἐννοήσας καὶ θαυμάσας τά τε πεπραγμένα καὶ τὰ εἰρημένα, ᾐτήσατο συγγνώμην παρὰ τοῦ Ἀμφιλοχίου, καὶ νόμον ἐξέδωκε συνῳδὰ τῇ ἐπιθυμίᾳ αὐτοῦ (1)· Περὶ τὸν αὐτὸν χρόνον ἐπέσκηψεν ἐν τῇ ἐπαρχίᾳ τῆς Λυκαονίας ἡ λύμη τῶν Μεσαλιανῶν ἤγουν Εὐχιτῶν ἤτοι Ἀδελφιανῶν. Τῆς λώβης ταύτης ἠλευθέρωσεν ὁ ἅγιος Ἀμφιλόχιος τὰ ὑπ' αὐτοῦ νεμόμενα ποίμνια. Τοὺς αἱρετικοὺς τούτους ἐπολέμησε καὶ διὰ συγγράμματος (2). Ἔπειτα παρῆν ἐν τῇ κατὰ τὴν Σίδην τῆς Παμφυλίας συγκροτηθείσῃ Συνόδῳ, ἔνθα κατεκρίθη ἡ αἵρεσις τῶν Εὐχιτῶν, καὶ ἐντολῇ τῆς Συνόδου ἔγραψε περὶ τούτου ἐπιστολὴν συνοδικὴν πρὸς τὸν μέγαν Φλαβιανὸν τὸν Ἀντιοχείας (3). Τοσοῦτον ἤδη προέκοψε τῷ πνεύματι ὁ ἅγιος Ἀμφιλόχιος, ὥστε ἠδύνατο παρέχειν τοῖς ἀσθενέσιν ἴασιν. Περὶ τούτου ἔγραψεν αὐτῷ ὁ ἅγιος Γρηγόριος τάδε: «Μόλις ποτὲ τῶν ἐκ τῆς ἀρρωστίας ἀνανεύσαντες πόνων, ἐπὶ σὲ τὸν τῆς ἰάσεως πρόξενον δεδραμήκαμεν. Γλῶσσα γὰρ ἱερέως φιλοσοφοῦσα τὸν Κύριον ἀνεγείρει τοὺς κάμνοντας» (4). Κατὰ τὸν Σεπτέμβριον τοῦ 394 παρῆν ἐν τῇ ἐν Κωνσταντινουπόλει συγκροτηθείσῃ Συνόδῳ ἕνεκα τῆς μεταξὺ τῶν ἐν τῇ Ἀραβίᾳ ἐπισκόπων Βαγαδίου καὶ Ἀγαπίου ἔριδος (5). Τοῦτο ἦν τὸ τελευταῖον ἔργον τοῦ ἁγίου Ἀμφιλοχίου. Ἐτελεύτησε δὲ πιθανῶς κατὰ τὸ ἑπόμενον ἔτος (6).

§. 158. Συγγράμματα αὐτοῦ.

Καὶ ἐξ ἐκλογῶν ἐκ τῶν συγγραμμάτων τοῦ ἁγίου Ἀμφιλοχίου, τῶν ὑπὸ τῶν ἀρχαίων διδασκάλων διασωθεισῶν, δείκνυται, ὅτι ὁ ἅγιος Ἀμφιλόχιος συνέγραψε λίαν πολλὰ καὶ ποικίλα συγγράμματα.

(1) Θεοδωρ. ἐκκλ. ἱστορ. έ. 16. Σωζόμ. ζ'. 6.

(2) Θεοδωρ. αἱρετ. κακομυθ. βιβλ. δ'. κεφ. 2.

(3) Φώτ. ἀνάγν. νβ'.

(4) Ἐπ. ροά.

(5) Mansi concil. III. 851, 852.

(6) Ἡ μνήμη αὐτοῦ τῇ κγ'. Νοεμβρίου.—

Συνέγραψε βιβλία, ποιήματα, ἐπιστολάς, λόγους. Δυστυχῶς μέχρις ἡμῶν ἀφίκοντο ὀλίγα.

Τὸ περὶ τοῦ ἁγίου Πνεύματος βιβλίον αὐτοῦ, ὅπερ ἀνέγνω ὁ Ἱερώνυμος (1), ὡς καὶ τὸ κατὰ τῶν Εὐχιτῶν (2), ἀπώλοντο τέλεον. Ἐν τῷ περὶ τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου, τῷ ἀναγνωσθέντι κατὰ τὰς ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι συγκροτηθείσας Οἰκουμενικὰς Συνόδους, ἔγραψεν: «Ἡ ἀλήθεια ἐγνώσθη, ἡ χάρις ἦλθε, καὶ ἡ ζωὴ ἐφάνη· ὁ τοῦ Θεοῦ Υἱὸς ὤν, ὁ ἐκ Θεοῦ Λόγος, σὰρξ ἐγένετο δι' ἡμᾶς, ἵνα θνητοὺς εἰς ζωὴν αἰώνιον ἀναστήσῃ καὶ ἐκ τῶν νεκρῶν ἀνεγείρῃ· ὁ ποιητὴς τῶν ὅλων, ὁ πρὸ πάσης κτίσεως ὁρατῶν καὶ ἀοράτων, μόνον Πατρὶ καὶ Πνεύματι συνυπάρχων ἀθάνατος, σήμερον ἰδοὺ ἐκ Παρθένου γεννώμενος, χωρὶς πάσης ἁμαρτίας, ἄνευ ἀνθρώπου, ἤτοι ἀνδρός . . . Διὰ τοῦτο Χριστὸς ἑαυτὸν ἐκένωσεν, ἵνα ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ λάβωμεν. Ἐκείνου θάνατος γέγονέ σοι ἀθανασία. Τὸ τοῦ Δεσπότου πάθος γέγονε τοῦ δούλου ὕψωμα. Σὺ δὲ τὴν εὐεργεσίαν λαμβάνεις βλασφημίας ἐφόδιον» (3). Ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν βιβλίου ἀναφέρει ὁ Δαμασκηνὸς μόνον λέξεις τινάς (4).

Μέχρις ἡμῶν ἀφίκετο ἡ μακρὰ ἐπιστολὴ ἐν στίχοις πρὸς Σέλευκον (5), τὸν ἀδελφιδοῦν τῆς ἁγίας Ὀλυμπιάδος καὶ ἔκγονον Τραϊανοῦ τοῦ στρατηλάτου. Τὸ σύγγραμμά ἐστι παιδαγωγικὸν τῷ νέῳ πλουσίῳ. Τὸ τέλος τῶν πρὸς Σέλευκον ἰάμβων, ἔνθα ἀπαριθμοῦνται τὰ κανονικὰ βιβλία τῆς ἁγίας Γραφῆς, κατέταξεν ἡ ἐν Τρούλῳ σύνοδος ἐν τοῖς κανονικοῖς συγγράμμασι τῶν ἁγίων Πατέρων, ὀνομάσασα τοὺς ἰάμβους ἐπιστολὴν τοῦ ἁγίου Ἀμφιλοχίου (6). Τῷ ἁγίῳ

(1) De vir. illustr. c. 133.

(2) Φώτ. ἀνάγν. νδ'. Θεοδωρ. ἐκκλ. ἱστορ. δ'. 11. αἱρετ. κακομυθ. Δ'. ιά.

(3) Αἱ ἐκλογαὶ συνελέγησαν καὶ ἐξεδόθησαν ὑπὸ Κομβεφισίου: Op. S. Amphilochii Paris. 1644. Τούτων πλείονες ἐξεδόθησαν ὑπὸ Μιγνίου Patrol. T. 39. pag. 99—102.—

(4) Patrol. T. 39. pag. 102.

(5) Οἱ ἴαμβοι ἐξεδόθ. μετὰ λατιν. μεταφράσεως ὑπὸ Ἰωακεὶμ Ζενέρου Scheusingæ 1609· ὑπὸ Κομβεφισίου: Op. Amphilochii p. 117—135.

(6) Καν. β'.

Ἀμφιλοχίῳ ἀποδιδοῦσι τούτους τοὺς στίχους Κοσμᾶς ὁ Ἰνδικοπλεύστης κατὰ τὸν ἕκτον αἰῶνα (1), ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνός, ὁ ἅγιος Κοσμᾶς ὁ Ἱεροσολυμίτης, ἐπίσκοπος Μαϊουμᾶ, καὶ ἄλλοι(2). Ἔν τινι χειρογράφῳ εὑρέθη ἀρχαῖον σχόλιον ἔχον ὡς ἑξῆς: «καὶ ταῦτα δοκεῖ μοι τῆς Θεολόγου τυγχάνειν φρενός, ὡς παρὰ Ἀμφιλοχίου γραφέντα». Ἀλλ' ἡ μερικὴ αὕτη γνώμη μεταγενεστέρου ἀνδρὸς οὐδὲν σημένει ἐνώπιον τοσούτων μαρτυριῶν τῆς ἀρχαιότητος, τοσούτῳ μᾶλλον, ὅσον οἱ πρὸς τὸν Σέλευκον ἴαμβοι, ὡς δείκνυται ἐκ τοῦ περιεχομένου, οὐκ ἠδύναντο εἶναι ἔργον τοῦ ἁγίου Γρηγορίου. Ἐν τῷ ἔπει τοῦ ἁγίου Γρηγορίου περὶ τῶν γνησίων βιβλίων τῆς θεοπνεύστου Γραφῆς (3) οὐχ οὕτως ἀπαριθμοῦνται τὰ κανονικὰ βιβλία, ὡς ἐν τοῖς ἰάμβοις τοῦ Ἀμφιλοχίου. Παρὰ τῷ Γρηγορίῳ ἐν τῷ ἀριθμῷ τῶν ἱερῶν βιβλίων μνημονεύονται αἱ ἑπτὰ καθολικαὶ ἐπιστολαί, οὐχὶ δὲ ἡ Ἀποκάλυψις καὶ τὸ βιβλίον τῆς Ἐσθήρ· ἐν δὲ τοῖς ἰάμβοις ἐτάχθησαν ἐν τῷ κανόνι καὶ αἱ καθολικαὶ ἐπιστολαὶ καὶ ἡ Ἀποκάλυψις καὶ ἡ Ἐσθήρ, ἀλλὰ μετά τινος ἀμφιβολίας. Οὐδεμία τοίνυν ἀμφιβολία, ὅτι οἱ ἴαμβοί εἰσιν ἔργον τοῦ Ἀμφιλοχίου [*]. Ἐν αὐτοῖς νουθετεῖ τὸν Σέλευκον ὑποτάσσειν τὴν ἔξω σο-

(1) Χριστιαν. Τοπογραφ. βιβλ. Ζ'. σελ. 292. in Montfauconii vet. auct.

(2) Ὁ ἅγιος Κοσμᾶς εἰς Γρηγ. τὸν Ναζιανζ. λέγει: «Ταύτης δὲ τῆς Ὀλυμπιάδος ἀδελφιδοῦς Σέλευκος ἦν, πρὸς ὃν τὴν ἰαμβικὴν ἐπιστολὴν Ἀμφιλόχιος γεγράφηκε . . .»

(3) Τ. 2. σελ. 98. ed. Billii.

[*] Κατὰ τὸν Κομβεφίσιον οἱ ἴαμβοι οὗτοί εἰσιν ἔργον τοῦ ἁγίου Ἀμφιλοχίου δι' ἄλλους τε λόγους, καὶ διότι οὐ συμφωνοῦσι πρὸς τὰ ἔπη τοῦ Θεολόγου: «Sunt nihilominus, λέγει, hæc leviora, quam ut fidem codicum vindicantium Amphilochio, elevent. Primum enim minus quadrant hic posita de libris canonicis cum iis, quæ habet Theologus (Greg. Nazianz. carm. XXXIII. opp. t. 2. p. 98.), ubi absolute pronuntiat de Pauli epistolis et septem catholicis, nulla mentione libri Esther aut Apocalypsis. Tum quia videntur hi jambi non ita accedere ad Cathurnum Gregorianum, potius que referre facilem Amphilochii venam, ac nonnihil licentius decurrere, et stylo solutæ orationi propinquiori et quid vetat, ut Theologo aequalis, isque ipse

φίαν ὡς ὑπηρέτιν τῇ πανσόφῳ τῶν Γραφῶν θεωρίᾳ, μὴ χρήμασι μᾶλλον, ἢ τῷ τρόπῳ πλουτεῖν, φεύγειν τὰς τῶν κακῶν ὁμιλίας, μισεῖν τὰ θέατρα καὶ τἄλλα κοσμικὰ θεάματα. Ἔπειτα παραινεῖ αὐτὸν «σμήχειν τοῖς μαθήμασι, βίβλοις ποιητῶν, ἱστορικῶν συγγράμμασι, καὶ ταῖς τρεχούσαις ῥητόρων εὐγλωττίαις, λεπταῖς τε μερίμναις φιλοσόφων ἀσκούμενον», ἀλλὰ τούτοις ἅπασιν ἐντυγχάνειν ἐμφρόνως, φεύγειν δὲ ἐπιμελῶς ἑκάστου τὴν βλάβην. Πρὸ πάντων δὲ συνίστησιν ὁ διδάσκαλος ἐκείνας τὰς βίβλους καὶ τὰς ἐπιστήμας, αἵτινες δύνανται διδάξαι πᾶν τὸ ὠφέλιμον διὰ τὴν αἰωνιότητα καὶ τὴν ἔρευναν τῶν θεοπνεύστων Γραφῶν, ἐν αἷς ἐκτίθεται ἡ ὑψηλὴ διδασκαλία περὶ τῆς ἁγίας Τριάδος· τέλος ἀπαριθμεῖ αὐτὰ τὰ ἱερὰ βιβλία τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης.

Ἐκ τῶν ἐκλογῶν τῶν ἀρχαίων γνωστὴ ἡ ἐπιστολὴ τοῦ ἁγίου Ἀμφιλοχίου πρὸς Σέλευκον τὸν ἔκγονον Τραϊανοῦ τοῦ στρατηλάτου. Ἐν ταύτῃ γίγνεται λόγος περὶ τῆς ἁγίας Τριάδος καὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἐνταῦθα ὡσαύτως διδάσκει ὁ ἅγιος Ἀμφιλόχιος περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ἀλλ᾽ οὐχὶ ὥσπερ οἱ Δυτικοί. «Ἕνα γὰρ Θεὸν λέγω, γράφει ὁ ἅγιος διδάσκαλος, τὸν ὄντως ὄντα Θεόν, πολυθεΐαν ἑλληνισμοῦ φεύγων. Ἐν τρισὶ δὲ προσώποις γνωρίζεσθαι τὸν ἕνα, ἰουδαϊσμοῦ ἐστιν ἀνατροπή. Πατὴρ γὰρ ἐν Υἱῷ, καὶ Υἱὸς ἐν Πατρί, καὶ Πνεῦμα ἐν Υἱῷ καὶ Πατρὶ ὁμολογῶ. Προσκυνῶ δὲ Ἰησοῦν Χριστόν, συναΐδιον τῷ Πατρὶ κατὰ τὴν Θεότητα· οὐκ οὐσίας, οὐχ ὑπάρξεως τρόπον, νεώτερον τοῦ Πατρὸς κατὰ τὴν Θεότητα. Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τὸν μὲν γὰρ Υἱὸν φημὶ γεγεννημένον ἀχρόνως καὶ ἀνάρχως, συνυπάρχοντα ἀεὶ τῷ Πατρὶ κατὰ τὴν Θεότητα. Τὸ δὲ Πνεῦμα τὸ

---

omni scientiarum genere excultus ac plane vir ἐλλογιμώτατος, etiam metro Seleucum instituerit, ad quem prosa semel et iterum eum scripsisse dogmatica probant quæ ejus producimus fragmenta? Nec est simile in aliis allatis, in quibus statim palam est assumpta persona. Etiam Balsamon habet ut Amphilochii, parsimque Damascenus in *Elementis* emin. Rupifucaldii » (Combef. not. ad Amphil. pag. 253). Σ. Μ.—

ἅγιον ἐκπορευόμενον ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀϊδίως πιστεύω. Καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος οὐ φημὶ γέννησιν. Καὶ τὴν γέννησιν τοῦ Υἱοῦ οὐ λέγω ἐκπόρευσιν . . . . »([1]). Λίαν σημαντικαί εἰσιν αἱ περισωθεῖσαι ἐκλογαὶ ἐκ τῆς γραφείσης ὑπ᾿ αὐτοῦ ἐπιστολῆς πρὸς τοὺς ἐν Σεύδρᾳ περὶ τῆς ἁγίας Τριάδος ([2]). Ἡ συνοδικὴ ἐπιστολὴ (τῷ 394), ἐν ᾗ ὡσαύτως γίγνεται λόγος περὶ τῆς ἁγίας Τριάδος καὶ ἰδίᾳ περὶ τοῦ ἁγίου Πνεύματος, διεσώθη ὁλόκληρος ([3]). Ἐκ τῆς πρὸς Παγχάριον διάκονον Σίδης δογματικῆς ἐπιστολῆς, γραφείσης ἀναμφηρίστως κατὰ τῶν Εὐχιτῶν, εἰσὶ γνωστὰ λίαν ὀλίγα ([4]). Ἡ δὲ πρὸς Φλαβιανὸν ἐπιστολὴ περὶ τῆς αὐτῆς ὑποθέσεως παντελῶς ἀπώλετο ([5]).

Εἷς ἐκ τῶν λόγων τοῦ ἁγίου Ἀμφιλοχίου γνωστὸς ἐκ τῶν περισωθεισῶν ἐκλογῶν ἄρχεται ὧδε: Affer hodie certativos attingamus sermones (Φέρε σήμερον ἀγωνιστικῶν ἁψώμεθα λόγων) ([6])· ἑτέρα ἐκλογὴ ἐπιγράφεται ὧδε: ἐκ τοῦ περὶ τῆς ἡμέρας καὶ ὥρας, λόγου α΄. Δύο γὰρ αὐτῷ περὶ τούτου πεποίηνται συντάγματα ([7])· τρίτη ἐκλογὴ ἔχει τήνδε τὴν ἐπιγραφήν: τοῦ μακαρίου Ἀμφιλοχίου· ἐκ τοῦ, εἰς τό, Κύριος ἔκτισέ με ἀρχή, ὁ δ΄. λόγος ([8]). Ἐκ τούτου καθίσταται δῆλον, ὅτι ὁ ἅγιος Ἀμφιλόχιος, ὡς ποιμήν, ἐξεφώνει πλείστους λόγους, δογματικοὺς ἅμα καὶ πολεμικούς, ὡς τὰ πολλά. Αὐτὸ τοῦτο ὁρῶμεν καὶ ἐκ τῆς ὑποθέσεως ἑκάστου τεμαχίου τῶν λόγων αὐτοῦ. Τὰ ἐκ τῶν ἑπτὰ ὁμιλιῶν εἰς ῥητὰ τοῦ Εὐαγγελίου τοῦ Ἰωάννου περισωθέντα ἀποσπάσματα, ἅπαντα ἀποβλέπουσι πρὸς τοὺς Εὐνομιανούς ([9]). Ὁ λόγος εἰς τό: ὁ Πατήρ μου μείζων μου ἐστι ἄλλως καλεῖται πρὸς Ἀρειανοὺς λόγος ([0]). Τοιοῦτος ἐπ᾿ ἴσης ὁ διασωθεὶς ὁλόκληρος λόγος εἰς τὰ Γενέθλια τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ

([1]) Patrol. Migne T. 39. pag. 111—114. Zernicav. Tract. de S. Spiritu. 1, 69.—
([2]) Migne pag. 115.
([3]) Αὐτόθ. 93—98.
([4]) Αὐτόθ. 114.
([5]) Φώτ. ἀνάγν. ϙβ΄.
([6]) Apud Facundum. Hiermian. l. XI. c. 3. p. 761. Migne 111.
([7]) Migne T. 39. p. 103.
([8]) Αὐτόθ. 102.
([9]) Αὐτόθ. 104—110.
([0]) Αὐτόθ. 109.

Χριστοῦ (¹). Ἐν τῷ λόγῳ εἰς τό: ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν (Ἰωάν. ιέ. 14) ὁ ἅγιος διδάσκαλος διδάσκει: «Πάλιν ἐν εἴδει φαίνεται πυροφλόγῳ· ἴσως τὸ πῦρ ἐκεῖνο τῷ κόσμῳ φέρων, ὅπερ βαλεῖν ἔφησας ἐλθὼν εἰς χθόνα. Καὶ τοῦτο γὰρ προεῖπας, ὡς ἐκ Σοῦ λάβοι, καὶ τοῖς μαθηταῖς ἐκφράσοι σαφεστάτως τῶν σῶν ἁπασῶν ἐντολῶν τὰς ἐκδόσεις. Καὶ τοῦ Παρακλήτου τε καὶ Ζωαρχίου, χάρις τὸ Πνεῦμα τῆς ἀληθείας, ὅπερ ἐκ τοῦ Πατρὸς τὴν ἐκπόρευσιν ἀχρόνως φέρειν ἔφησας· αὐτὸ ἀψευδεστάτως, Σοῦ Πνεῦμα θεῖον, τὴν πανάχραντον χάριν αἰτῶ, πόρευμα Πατρὸς εὐλογημένον· ἄκτιστον, εὐκτόν, καὶ συνάναρχον πάλιν Υἱῷ τε καὶ Θεῷ Πατρί, τοῖς αἰωνίοις» (²). Ἰδοὺ ἔτι ἀπόδειξις τοῦ πῶς ἐδίδασκεν ὁ ἅγιος Ἀμφιλόχιος περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Ἐν τῷ λόγῳ εἰς τό: οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν δείκνυσιν, ὅτι ἡ σὰρξ τοῦ Ἰησοῦ Χριστοῦ οὐ κατῆλθεν οὐρανόθεν (³). Τοῦτο εἴρηται κατὰ τοῦ Ἀπολλιναρίου. Ἀξία προσοχῆς ἡ ἑρμηνεία τοῦ: Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ (⁴). Ὁ εἰς τὴν ἡμέραν τοῦ ἁγίου Σαββάτου περισωθεὶς λόγος ἐστὶ πρότυπον λόγου κατά τε τὴν καλλιέπειαν καὶ τὴν ἰσχὺν τῶν ἐννοιῶν (⁵). Τοιοῦτος ἐπ' ἴσης ὁ εἰς τὴν Μεσοπεντηκοστήν, καὶ εἰς τὸν Παράλυτον, καὶ εἰς τό: μὴ κρίνετε κατ' ὄψιν λόγος, ἐν ᾧ πρὸς τοῖς ἄλλοις ἀναγινώσκομεν: «Εἷς γὰρ ὁ Λόγος, Υἱὸς τοῦ Πατρός, καὶ Πνεῦμα τοῦ Πατρός, τὸ ἅγιον Πνεῦμα» (⁶). Οἱ λόγοι οὗτοί εἰσι τοῖς δυτικοῖς δυσάρεστοι

(¹) Αὐτόθ. 35—44.

(²) Αὐτόθ. 110.

(³) Αὐτόθ. 106—108.

(⁴) Αὐτόθ. 105. «Προέκοπτε κατὰ τὴν ἡλικίαν· ἀνδρουμένου κατὰ φύσιν τοῦ σώματος. Σοφίᾳ· διὰ τοὺς παρ' αὐτοῦ σοφιζομένους. Χάριτι· ἐφ' ᾗ εὐφραινόμενοι προκόπτομεν· πιστεύοντες, ὅτι ἔσται τελείωσις τοῖς ὑπ' αὐτοῦ λελαλημένοις, περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. Παρὰ Θεῷ· ὅτι τὸ ἔργον τοῦ Πατρὸς τετελείωκε σαρκωθείς, καὶ ἡμᾶς λυτρωσάμενος. Καὶ παρὰ ἀνθρώποις· διὰ τὴν αὐτῶν ἐξ εἰδωλολατρείας ἐπὶ τριαδικὴν θεογνωσίαν μετάστασιν· κατὰ τούτους οὖν τρόπους προέκοπτε, καὶ ἀληθεύει. Οὐ γὰρ κατὰ τοὺς ἄφρονας, ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον».

(⁵) Αὐτόθ. σελ. 90—94.

(⁶) Αὐτόθ. σελ. 119—130.

Ὁ βίος τοῦ ἁγίου Βασιλείου, ὁ γνωστὸς ὑπὸ τὸ ὄνομα τοῦ Ἀμφιλοχίου, ἐγράφη ἀναμφιβόλως οὐχὶ ὑπ' αὐτοῦ, ἀλλὰ πάνυ πιθανῶς ὑπὸ Ἀμφιλοχίου τοῦ ἐπισκόπου Κυζίκου, φίλου τοῦ Π. Φωτίου (1).—

§. 159. Ὁ ἅγιος Ἀμβρόσιος ὁ Μεδιολάνων· βίος αὐτοῦ.

Μετὰ τὸν ἅγιον Ἱλάριον, οὐδεὶς τῶν ποιμένων τῆς Δύσεως ἔσχε τηλικαύτην ἐπιρροὴν ἐπὶ τῆς συγχρόνου καταστάσεως τῆς Δύσεως, ἡλίκην ὁ Μεδιολάνων Ἀμβρόσιος. Υἱὸς τοῦ Ἐπάρχου τῶν Γαλλιῶν καὶ τῆς Ἱσπανίας, παῖς ἔτι ὤν, ἔδωκε τῷ πατρὶ μεγάλας περὶ ἑαυτοῦ ἐλπίδας(2). Ὁ πατὴρ ἀπεβίωσε μετ' οὐ πολύ· ἡ δὲ χήρα μήτηρ μετὰ τῶν δύο ἀνηλίκων υἱῶν καὶ τῆς θυγατρὸς αὐτῆς μετέβη ἐκ τῆς πόλεως Τρηουήρων εἰς Ρώμην, ἔνθα ὑπῆρχον πλείονα μέσα πρὸς κρείττονα ἐκπαίδευσιν τῶν ἑαυτῆς τέκνων. Ὁ Ἀμβρόσιος καὶ ὁ ἀδελφὸς αὐτοῦ Σάτυρος ἐξεπαιδεύθησαν ἄριστα τά τε γράμματα καὶ τὴν νομικήν. Ἡ δὲ ἀδελφὴ Μαρκελλίνη, ἀποθανούσης τῆς μητρός, ἐμερίμνα μετὰ στοργῆς περὶ τῶν νέων ἀδελφῶν. Ἀμφότεροι οἱ ἀδελφοὶ μετῆλθον τὸ ἐπάγγελμα τοῦ συνηγόρου. Ἐν Μεδιολάνῳ ἡ παιδεία καὶ τὰ πνευματικὰ χαρίσματα τοῦ Ἀμβροσίου ταχέως ἐγνώσθησαν, καὶ ὁ Ἔπαρχος Πρόβος προσελάβετο αὐτὸν καὶ κατέστησεν

(1) Παρὰ Κομβεφισίῳ (Opp. S. Methodii, Amphilochii, gr. et lat. Paris. 1644). Ἐν τῷ ἐννάτῳ αἰῶνι μετέφρασεν αὐτὸν λατινιστὶ ὁ Σύρσιος. Πρβλ. Lambecii Comm. Vind. 8, 475—787.

(2) Τὸν βίον τοῦ ἁγίου Ἀμβροσίου συνέγραψεν ὁ διάκονος καὶ γραμματεὺς αὐτοῦ Παυλῖνος, ὃς γράφει τάδε: « . . . qui infans in area praetorii iin cuna positus, cum dormiret aperto ore, subito examen apum adveniens, faciem ejus atque ora complevit: ita ut ingrediendi n os, egrediendique vices frequentarent. Quæ pater, qui propter cum matre vel filia deambulabat, ne abigerentur ab ancilla, quæ curam nutriendi infantis susceperat, prohibens (solliscita enim erat ne infanti nocerent) exspetabat patrio affectu, quo fine illud miraculum clauderetur. At illæ post aliquam diu evolantes, in tantam æris altitudinem sublevatæ sunt, ut humanis oculis minime videcentur. Quo facto, territus pater ait: si vixerit infantulus iste, aliquid magni erit» (iv Vit. S. Ambros. c. 3).

Ἔπαρχον τῶν Ἰταλικῶν ἐπαρχιῶν Λιγυρίας καὶ Αἰμιλίας. Εἶπε δὲ ὁ Πρόβος τῷ Ἀμβροσίῳ διδοὺς αὐτῷ (τῷ 370) τὴν θέσιν ταύτην: «Vade, age non ut judex, sed ut episcopus» (Πορεύου, διοίκει οὐχ ὡς κριτής, ἀλλ᾽ ὡς ἐπίσκοπος). Ὁ Ἔπαρχος Ἀμβρόσιος οὕτω καὶ ἐνήργει, κατὰ τὴν κλίσιν τῆς καρδίας αὐτοῦ. Κατὰ τὸ τέλος τοῦ 374 ἀπέθανεν ὁ Μεδιολάνων ἐπίσκοπος Αὐξέντιος, καὶ ἠγέρθησαν ἔριδες περὶ τῆς ἐκλογῆς τοῦ διαδόχου ἐκείνου, ὃς ἦν τὸ ἔρεισμα τῶν Ἀρειανῶν (ἴδ. περὶ τοῦ ἁγ. Ἱλαρίου). Ἀφικομένου τοῦ Ἀμβροσίου, ὡς ἐπάρχου, εἰς τὸν ναὸν πρὸς ἐπιτήρησιν τῆς τάξεως, αἴφνης φωνὴ παιδὸς ἐν τῷ ναῷ ἠκούσθη: Ambrosium episcopum (τὸν Ἀμβρόσιον ἐπίσκοπον). Ὁ λαὸς ὑπεστήριξε τὴν δήλωσιν τῆς ἀθωότητος. Εἰς μάτην ὁ Ἀμβρόσιος προὐβάλλετο, ὅτι οὐ παρεσκευάσθη παντάπασι πρὸς τὴν πνευματικὴν κλῆσιν, καὶ δὴ ὅτι οὐκ ἐβαπτίσθη. Μάτην ἠβουλήθη δεῖξαι ἑαυτὸν ὠμὸν καὶ ἀπάνθρωπον, βασανίσας αὐστηρῶς ὑποδίκους τινὰς δημοσίᾳ· ἐξῆλθε νυκτὸς τῆς πόλεως, ἀλλὰ τὴν πρωΐαν, ἀποπλανηθεὶς τῆς ὁδοῦ, εὑρέθη παρ᾽ ἐλπίδα πρὸ τῆς ρωμαϊκῆς λεγομένης πύλης τῶν Μεδιολάνων, καὶ ὁ λαὸς περιεκύκλωσεν αὐτόν, ὡς αἰχμάλωτον, διὰ φρουρᾶς. Ὁ Ἀμβρόσιος ἠναγκάσθη ὑποχωρῆσαι τῇ ἀγάπῃ τοῦ λαοῦ καὶ τῇ κλήσει τοῦ Θεοῦ. Ἐβαπτίσθη, διῆλθεν ἐν ἑπτὰ ἡμέραις τοὺς βαθμοὺς τοῦ κλήρου, καὶ τῇ ὀγδόῃ (τῇ ζ'. Δεκεμβρίου τοῦ 374) ἐχειροτονήθη ἐπίσκοπος (¹), ἄγων τότε τὸ τριακοστὸν τέταρτον ἔτος τῆς ἡλικίας αὐτοῦ. Ὁ Ἐπίσκοπος Ἀμβρόσιος διένειμε τοῖς πτωχοῖς ἅπασαν τὴν χρηματικὴν αὐτοῦ περιουσίαν, ἐπέτρεψε τῷ ἀδελφῷ Σατύρῳ τὴν περὶ τῶν οἰκιακῶν αὐτοῦ ὑποθέσεων φροντίδα, αὐτὸς δὲ ἐγένετο μαθητὴς τῶν χριστιανῶν διδασκάλων· ἀνεγίνωσκε τὰ συγγράμματα τοῦ Ὠριγένους, Βασιλείου τοῦ μεγάλου, καὶ Γρηγορίου τοῦ Ναζιανζηνοῦ(²)· ἠκροᾶτο τῶν ἀπὸ στόματος διδασκαλιῶν τοῦ πρεσβυτέρου Σιμπλικιανοῦ. Ὁ δὲ ρήτωρ τοῦ πολιτικοῦ βήματος ἐγένετο ρήτωρ

(¹) Περὶ τῆς εἰς ἐπίσκοπον ἐκλογῆς ἐκτὸς τοῦ Παυλίνου λόγον ποιεῖται καὶ ὁ Θεοδώρητος (Ἐκκλ. ἱστορ. δ'. 7). Ὡσαύτως ὁ Μ. Βασίλειος (ἐπ. 197)· Synod. vet. ap. Fabric. in Bibl. gr. T. XII. pag. 385.

(²) Hieron. adv. Rufin. l. I.

τοῦ ἐκκλησιαστικοῦ, καὶ ὁ λαός, ὁ ἀγαπήσας τὸν ἔπαρχον Ἀμβρόσιον, ἔτι μᾶλλον ἠκροᾶτο τῶν λόγων τοῦ Ἐπισκόπου Ἀμβροσίου ποθοῦντος τὴν ἀπαλλαγὴν τῆς Ἐκκλησίας ἐκ τῶν Ἀρειανῶν ζιζανίων [*]. Ὡς τεκμήριον τῆς καθαρᾶς αὐτοῦ πίστεως ὁ Ἀμβρόσιος ᾐτήσατο καὶ ἔλαβεν ἐκ τῆς Καππαδοκίας τὰ λείψανα τοῦ Μεδιολάνων ἐπισκόπου Διονυσίου, ἐξορισθέντος ἐκεῖ ὑπὸ τῶν Ἀρειανῶν, καὶ ὁ μέγας Βασίλειος χαίρων ἐπὶ τῇ ἐκλογῇ τοιούτου ποιμένος τῆς Ἐκκλησίας, ἔγραψεν αὐτῷ: «... Ἐδοξάσαμεν τὸν Θεὸν ἡμῶν, τὸν καθ' ἑκάστην γενεὰν ἐκλεγόμενον τοὺς αὐτῷ εὐαρεστοῦντας· ὃς πρότερον μὲν ἐκ τῶν ποιμνίων τῶν προβάτων ἤγειρεν ἄρχοντα τῷ λαῷ αὐτοῦ· καὶ τὸν Ἀμὼς ἐκ τοῦ αἰπολίου ἐνδυναμώσας διὰ τοῦ Πνεύματος, ὕψωσεν εἰς προφήτην· νῦν δὲ ἄνδρα ἐκ τῆς βασιλευούσης πόλεως, ἀρχὴν ὅλου ἔθνους πεπιστευμένον, ὑψηλὸν τῷ φρονήματι, γένους λαμπρότητι, περιφανείᾳ βίου, λόγου δυνάμει, πᾶσι τοῖς κατὰ τὸν βίον περίβλεπτον, εἵλκυσεν εἰς τὴν τῶν ποιμνίων τοῦ Χριστοῦ ἐπιμέλειαν· ὃς πάντα ρίψας τὰ τοῦ βίου πλεονεκτήματα, καὶ ἡγησάμενος αὐτὰ ζημίαν, ἵνα Χριστὸν κερδήσῃ, τοὺς οἴακας δέξασθαι ἐπετράπη τῆς μεγάλης καὶ περιβοήτου νηὸς ἐπὶ τῇ εἰς Θεὸν πίστει, τοῦ Χριστοῦ Ἐκκλησίας. Ἄγε τοίνυν, ὦ Θεοῦ ἄνθρωπε, ἐπειδὴ οὐ παρ' ἀνθρώπων παρέλαβες ἢ ἐδιδάχθης τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ' αὐτός σε ὁ Κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν καθέδραν τῶν Ἀποστόλων μετέθηκεν, ἀγωνίζου τὸν καλὸν ἀγῶνα, διόρθωσαι τὰ ἀρρωστήματα τοῦ λαοῦ, εἴ τινος ἄρα τὸ πάθος τῆς ἀρειανῆς μανίας ἥψατο» (¹). Ὁ Ἀμβρόσιος ὤφειλεν ἔχειν πολλὴν σταθερότητα καὶ ἀγάπην, ἵνα θεραπεύσῃ τὴν ἐπιχρόνιον νόσον τοῦ ἀρειανισμοῦ.

[*] Τῆς ποιμαντορικῆς αὐτοῦ μερίμνης τὸ ἀποτέλεσμα ἐδήλωσεν ὁ ἅγιος Ἱερώνυμος διὰ τῶν ἑξῆς λέξεων: Post Auxentii seram mortem, Mediolani Ambrosio constituto, omnis ad fidem rectam Italia convertitur» (in Chron.). Τὸ δὲ μᾶλλον ἀξιοθαύμαστόν ἐστιν, ὅτι πρὸς ἐπίτευξιν τούτου οὐ πολλοῦ ἐδεήθη χρόνου. Αὐτὸς οὗτος ὁ Θεῖος Πατὴρ κατὰ τοὺς χρόνους τῆς ἀρειανῆς θυέλλης, δηλ. τῷ 385 ἢ 386 ἔγραφε τάδε: Prodire de Arianis nullus audebat; quia ne quisquam de civibus erat, pauci de familia regia, nonnulli etiam gothi (Epist. 20, num. 12). Σ. Μ.

(¹) Ἐπιστ. 197.

Κατ᾿ ἐκεῖνο τοῦ χρόνου διέτριβεν ἐν Μεδιολάνοις ἡ Αὐτοκράτειρα Ἰουστίνη, τὰ τῶν Ἀρειανῶν φρονοῦσα. Ὑπὸ τὴν προστασίαν αὐτῆς οἱ Ἀρειανοὶ προσεκάλεσαν ἀρειανόν τινα καθῃρημένον ἐπίσκοπον, ἵνα ἀγωνισθῇ φανερῶς πρὸς τὸν Ἀμβρόσιον(1)· ἀλλ᾿ ὁ Αὐτοκράτωρ Γρατιανὸς ἠγάπησε τὸν ἅγιον ποιμένα, καὶ ἐξέδωκε διάταγμα μὴ συνέρχεσθαι τοὺς αἱρετικοὺς πρὸς ἱερουργίαν ἐκτὸς τοῦ ναοῦ(2). Οὐ μὴν ἀλλὰ οἱ Ἀρειανοί, πρὸς θλίψιν τοῦ ποιμένος, ἔλαβον ἑαυτοῖς ἕνα τῶν ὀλίγων ναῶν τῶν Μεδιολάνων(3). Ἀντὶ τούτου ὁ ἅγιος ποιμὴν παρεμυθεῖτο τοῖς ἀφθόνοις καρποῖς τῶν ὁμιλιῶν αὐτοῦ περὶ παρθενίας, ἃς ἐξεφώνησε κατὰ τὸ δεύτερον ἔτος τῆς ποιμαντορίας αὐτοῦ, καὶ ἃς ἔπειτα, κατὰ παράκλησιν τῆς εὐσεβοῦς αὐτοῦ ἀδελφῆς καὶ ἄλλων, ἐξέδωκε πρὸς κοινὴν ὠφέλειαν (4). «De Clacentino sacrandæ virgines veniunt, de Bononiensi veniunt, de Mauritania veniunt, ut hic velentur. Magnam rem videtis . . . », οὕτως ἔλεγεν ὁ πρᾷος ποιμὴν πρὸς ἔλεγχον τῶν ψεγόντων τὸν παρθενικὸν βίον (5). Αἱ ἐν τῇ αὐτοκρατορίᾳ ταραχαὶ ἔτρεψαν πρὸς καιρὸν τὰ τῆς Ἐκκλησίας ὑπὲρ τῶν Ἀρειανῶν. Ὁ Γρατιανός (τῷ 378), ἀπερχόμενος πρὸς βοήθειαν τοῦ Οὐάλεντος κατὰ τῶν Γότθων, ἐκήρυξεν ἐλευθερίαν τῶν θρησκειῶν (6), καὶ προσεκάλεσε τὸν Ἀμβρόσιον συγγράψαι αὐτῷ ἀνασκευὴν τοῦ ἀρειανισμοῦ. Ὁ Ἀμβρόσιος ἔγραψε περὶ πίστεως βιβλία δύο, καὶ ἐφεξῆς συνέταξεν ἕτερα τρία (7). Ἐπανελθὼν ὁ Αὐτοκράτωρ ἐκ τῆς ἐκστρατείας (τῷ 379), ἐξετίμησε

(1) Epist. XI.

(2) Cod. Theodos. lex 9 de Haereticis.

(3) Ambr. de Spir. S. lip. I. c. I. Tom. 2.

(4) Τοιούτῳ τρόπῳ ἐκ τῶν ὁμιλιῶν συνετέθησαν: α΄.] τὰ τρία περὶ τῶν παρθένων βιβλία, συνταχθέντα, κατὰ παράκλησιν τῆς ἀδελφῆς, τῷ 377 (nondum triennalis sacerdos, lib. III. c. 39), β΄.] τὸ βιβλίον περὶ τῶν χηρῶν, συγγραφὲν μετὰ τὰ περὶ παρθένων, κατὰ παράκλησιν χήρας τινός, ἐν τῷ τέλει τοῦ 377· γ΄.] τὸ βιβλίον περὶ παρθενίας, ὅπερ ἐστὶ συνέχεια τοῦ περὶ χηρῶν, καὶ ὅπερ συνεγράφη ἐν τῇ ἀρχῇ τοῦ 378.

(5) Lib. de virginib. C.X. §. 57.

(6) Cod. Theodos. lex. IV. de Haeretic. Σωζόμ. ζ΄. 1. Σωκρ. ε΄. 2, 4. Σουΐδ.

(7) Op. T. 2. pag. 751.

τόν τε ζῆλον καὶ τὴν παιδείαν τοῦ ποιμένος· ἐξέδωκε διάταγμα, ἀκυροῦν τὸ πρότερον, μετ' αὐστηρῶν ἀπειλῶν κατὰ τῶν αἱρετικῶν (1), καὶ ἀπέδωκε τοῖς ὀρθοδόξοις τὸν ναόν, ὃν κατέσχον οἱ Ἀρειανοί (2). «Μόνος ὁ Θεὸς οἶδεν, ἔγραψε τότε ὁ Ἀμβρόσιος πρὸς τὸν Αὐτοκράτορα, ἡλίκην παραμυθίαν παρέχει τῇ ψυχῇ μου ἡ εὐσέβειά σου...... Σὺ ἐδωρήσω μοι ἐκεῖνο, οὗπερ διακαῶς ἐπεθύμουν,—τὴν εἰρήνην τῆς Ἐκκλησίας· ἐφίμωσας τὰ στόματα τῶν ἀποστάντων τῆς ἀληθείας. Ὦ! Εἰ οὕτως ἐπιτυχῶς ἐπέδρας καὶ ἐπὶ τῶν καρδιῶν αὐτῶν...» (3). Κατὰ τὸν αὐτὸν χρόνον ὁ Θεῖος Πατὴρ κατελυπήθη ἐπὶ τῇ τελευτῇ τοῦ προσφιλεστάτου ἀδελφοῦ καὶ τὴν θλίψιν αὐτοῦ ἐδήλωσεν ἐν τῷ εἰς αὐτὸν ἐκφωνηθέντι ἐπιταφίῳ λόγῳ (4). Τῷ 380 ἡ Ἰουστίνη, ἀποτυχοῦσα ἐν Μεδιολάνοις, ὥρισεν ἐπὶ τοῦ θρόνου τοῦ Σιρμίου Ἀρειανόν· ὁ Ἀμβρόσιος ἀφίκετο εἰς Σίρμιον, καὶ ἐξελέγη ὀρθόδοξος ἐπίσκοπος [α]. Μετὰ δὲ τοῦτο δύο ἐπίσκοποι τῆς Μοισίας καὶ Δακίας, καθαιρεθέντες ὡς Ἀρειανοί, ἀπήτουν παρὰ τοῦ Γρατιανοῦ συνοδικὸν δικαστήριον, καὶ ἐν τῇ συν-

---

(1) Cod. Theodos. lex V. de Haeretic.

(2) De Spir S. c. I.

(3) Epist. I.

(4) Op. T. II. pag. 1. 118. [Ὁ ἱερὸς Ἀμβρόσιος ἐξεφώνησεν εἰς τὸν ἀδελφὸν αὐτοῦ δύο ἐπιταφίους λόγους, καὶ ἐν μὲν τῷ πρώτῳ δηλοῖ τὴν ἄκραν αὐτοῦ λύπην ἐπὶ τῷ θανάτῳ τοῦ πολλαῖς καὶ ἐξόχοις ἀρεταῖς κεκοσμημένου ἀδελφοῦ, ἐν δὲ τῷ δευτέρῳ, ἑπτὰ ἡμέρας μετὰ τὸν πρῶτον ἐκφωνηθέντι καὶ de fide resurrectionis (περὶ πίστεως τῆς ἀναστάσεως) ἐπιγραφομένῳ, προτίθεται ἀποδεῖξαι α΄.] ὅτι ὁ θάνατός ἐστιν ἅπασι κοινός, β΄.] ὅτι δι' αὐτοῦ ἀπαλλασσόμεθα τῶν συμφορῶν καὶ τῶν κινδύνων τοῦ κόσμου, γ΄.] ὅτι ἀνοίγει ἡμῖν τὴν εἰς τὴν ἀνάστασιν ὁδόν. Σ. Μ.]

[α] Τὴν ἐπισκοπικὴν ἕδραν τῆς πόλεως Σιρμίου, πρωτευούσης ἁπάσης τῆς Ἰλλυρίας, κατέσχον ἐπὶ πολὺν χρόνον οἱ Ἀρειανοὶ Φωτεινὸς καὶ Γερβίνιος. Ἡ Αὐτοκράτειρα διαμένουσα, ὡς φαίνεται, τότε ἐκεῖ, ἐκίνησε πάντα λίθον, ἵνα ὁ μέλλων ἐπίσκοπος ᾖ Ἀρειανός. Μετὰ σπουδῆς ἀφίκετο ἐκεῖσε ὁ ἅγιος Ἀμβρόσιος, καὶ τῷ ἐνθέῳ αὐτοῦ ζήλῳ ἐξελέχθη ἐπίσκοπος ὁ ὀρθόδοξος Ἀνέμιος, καίπερ παντὶ σθένει ἀντιπαλαισάσης πρὸς αὐτὸν τῆς Ἰουστίνης. Τὸν τρόπον τῆς ἐκλογῆς ταύτης ὡς καὶ τὸ κατ' αὐτὴν τελεσθὲν θαῦμα διηγεῖται ὁ Παυλῖνος (in Vita Ambrosii n. II). Σ. Μ.—

ὁδῷ τῆς Ἀκυληΐας (τῷ 381) ὁ Θεῖος Ἀμβρόσιος, καίπερ ἰσχυρῶν ἀντενεργειῶν οὐσῶν, ἐβεβαίωσε τὴν προτέραν ἀπόφασιν περὶ τῶν ἐπισκόπων [1]. Οἱ Ἀρειανοὶ (τῷ 381) ᾐτήσαντο παρὰ τοῦ Αὐτοκράτορος τὴν ἄδειαν ποιήσασθαι φανερὰν τῷ Ἀμβροσίῳ συνδιάλεξιν· τὴν τεταγμένην ἡμέραν παρέστη πρὸς τοῦτο ὁ Θεῖος Πατήρ, ἀλλ' οἱ Ἀρειανοὶ οὐκ ἐνεφανίσθησαν. Ὁ Ἀμβρόσιος εἶπεν ἐν τῷ λόγῳ de incarnatione Dominicæ sacramento (περὶ τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως τοῦ Κυρίου): «Ἡ ἀληθὴς πίστις ἀγνοεῖ τὴν δειλίαν». Κατὰ τὸν αὐτὸν χρόνον, ὅτε μετ' ἐπιτυχίας ἐνήργει κατὰ τοῦ ἀρειανισμοῦ, ἔπεισε τὸν εὐσεβῆ Γρατιανὸν λαβεῖν μέτρα πρὸς ἐξασθένισιν τοῦ ἐθνισμοῦ. Τῷ 382 ὥρισε διὰ διατάγματος ἐκβληθῆναι τῆς ρωμαϊκῆς γερουσίας τὸ ἄγαλμα τῆς Νίκης· οἱ δὲ ἱερεῖς καὶ αἱ παρθένοι τῆς Ἑστίας ἐστερήθησαν τῆς δημοσίας διατηρήσεως (2), ἐν ᾧ ἐν τῇ γερουσίᾳ ὑπῆρχον ἔτι ἐθνικοί τινες γερουσιασταί. Οἱ πρόμαχοι τοῦ ἐθνισμοῦ ἔγνωσαν ἀποστεῖλαι πρεσβείαν πρὸς τὸν Αὐτοκράτορα αἰτησομένην τὴν ἀπόδοσιν τῶν δικαιωμάτων τῆς ἀρχαίας θρησκείας τῆς Ρώμης. Κορυφαῖος τῆς πρεσβείας ἦν ὁ περίφημος ρήτωρ καὶ γερουσιαστὴς Σύμμαχος. Ἀλλ' ὁ Ἀμβρόσιος παρέστη τῷ Αὐτοκράτορι, δεόμενος ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως καὶ τῶν πιστῶν γερουσιαστῶν· τῇ δὲ τῶν ἐθνικῶν γερουσιαστῶν πρεσβείᾳ οὐκ ἐπετράπη ἡ πρὸς τὸν Αὐτοκράτορα πρόσοδος ἐπὶ τῷ λόγῳ, ὅτι οὐκ εἰσὶν ἀντιπρόσωποι ἁπάσης τῆς γερουσίας(3). Ἀπετάθησαν ἔπειτα πρὸς τὴν φιλοδοξίαν τοῦ Αὐτοκράτορος, προέτειναν αὐτῷ τὴν ἐσθῆτα τοῦ ἄκρου Ἀρχιερέως· ἀλλ' οὗτος ἀπεκρίνατο: «ὁ ἐθνικὸς κόσμος οὐ προσήκει χριστιανῷ». Ἡ ἐλπὶς τῶν ἐθνικῶν ἐματαιώθη, διὸ ἀνέβρασεν ἡ κακία. «Si princeps non vult apellari pontifex *maximus*, admodum brevi Maximus *pontifex* fiet», εἶπεν ἡ κακία καὶ οὕτω καὶ ἔπραξε. Τῷ 383 ἀνηγορεύθη Αὐτοκράτωρ ὁ στρατηλάτης Μάξιμος,

(1) Op. T. 2. p. 786-814. [Οἱ ἀρειανοὶ οὗτοι ἀρχιερεῖς ἐκαλοῦντο Παλλάδιος καὶ Σεκουνδιανός. Πρὸς τούτους ὁ Θεῖος Πατὴρ κατεπάλαισε σοφῇ συνδιαλέξει, καὶ τὰ ἄθεα αὐτῶν δόγματα παρέδωκε τῷ ἀναθέματι. Σ. Μ.].—

(2) Cod. Theodos l. XVI. tit. X. c. 20.

(3) Epist. XVII.

ὁ δὲ πρόμαχος τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐδολοφονήθη ὑπὸ τῶν στρατιωτῶν αὐτοῦ. Μεγάλη ἦν ἡ λύπη τοῦ ἁγίου ποιμένος ἐπὶ τῷ θανάτῳ τοῦ εὐσεβοῦς Αὐτοκράτορος. Ἀλλὰ κατὰ τὸν αὐτὸν χρόνον ἠπείλει ἑτέρα συμφορὰ ἅπασαν τὴν Ἰταλίαν. Ἡ ἀλαζὼν Ἰουστίνη παρεκάλεσε τὸν Ἀμβρόσιον ἀπελθεῖν πρὸς τὸν Μάξιμον καὶ ἱκετεῦσαι αὐτόν, ἵνα μὴ ἁρπάσῃ τὴν ἐξουσίαν ἐκ τῶν χειρῶν τοῦ ἀνηλίκου αὐτῆς υἱοῦ Οὐαλεντινιανοῦ τοῦ β'. ὁ δὲ Ἀμβρόσιος ἐπέσχε τὸν φιλόδοξον τύραννον(1). Αἱ ἐπὶ τὸν Μάξιμον ἐλπίδες τῶν ἐθνικῶν οὐκ ἐξεπληρώθησαν, ἀλλ' οὐκ ἀπώλοντο τέλεον παρὰ τῇ αὐλῇ τοῦ Οὐαλεντινιανοῦ. Ἅπασα ἡ ἐξουσία ἦν νῦν ἐν ταῖς χερσὶ τῆς Ἰουστίνης, ἑνὸς μόνον ἐφιεμένης—τῆς ἰσχύος τοῦ ἀρειανισμοῦ. Οὕτως ὁ Ἀμβρόσιος ὤφειλε παλαίειν πρὸς δύο ἰσχυροὺς ἐχθρούς. Τῷ 384 ἀφίκετο αὖθις εἰς Μεδιόλανα ἡ πρεσβεία τῶν ἐθνικῶν γερουσιαστῶν, καὶ ὁ Σύμμαχος, παραστὰς τῷ Αὐτοκράτορι, ἐξεφώνησε πλήρη ἰσχύος ὑπὲρ τοῦ ἐθνισμοῦ λόγον(2). Ὁ Ἀμβρόσιος ἐπέστειλε τῷ Αὐτοκράτορι, ἐκτιθέμενος τὸ καθῆκον τοῦ χριστιανοῦ Αὐτοκράτορος, τοὺς κατὰ τῶν χριστιανῶν διωγμοὺς τῶν ἐθνικῶν, τὰ δικαιώματα τῶν χριστιανῶν γερουσιαστῶν, καὶ τέλος λέγει αὐτῷ: «Ἡμεῖς οἱ ἐπίσκοποι οὐ δυνάμεθα φανῆναι ἀδιάφοροι· παραδεχόμενος τὰς αἰτήσεις τῶν ἐθνικῶν, ὡς Αὐτοκράτωρ, ἀείποτε ἔχεις τὴν ἐξουσίαν τοῦ εἰσέρχεσθαι εἰς τὴν Ἐκκλησίαν· ἀλλ' εἰσελθών, ἢ οὐχ εὑρήσεις τὸν Ἐπίσκοπον ἐν αὐτῇ, ἢ εὑρήσεις ἀντ' αὐτοῦ αὐστηρὸν κατήγορον»(3). Ὁ Ἀμβρόσιος ἀμφιβάλλων περὶ τῆς ἐπιτυχίας τῆς ἐπιστολῆς, παρεκάλεσε τὸν Αὐτοκράτορα δοῦναι αὐτῷ ἀντίγραφον τοῦ λόγου τοῦ Συμμάχου, ἵνα ποιήσηται ἀπόκρισιν τῷ ἐθνικῷ ῥήτορι. Ἐν τῇ ἀποκρίσει αὐτοῦ κατεπολέμησεν ἅπαντα τὰ μέρη τοῦ λόγου τούτου μετὰ τῆς θριαμβικῆς δυνάμεως τῆς ἀληθείας· ἀνεσκεύασεν ἅπαντα αὐτοῦ τὰ σοφίσματα καὶ ἐπέδωκε τὴν ἀπόκρισιν τῷ Αὐτοκράτορι. Ὁ ἐθνισμὸς ἔπεσεν, ἀλλ' ἔμεινεν ἕτερος ἐχθρός. Πρὸ τοῦ Πάσχα (τῷ 385) ἡ Ἰουστίνη ἀπήτει παρὰ τοῦ ἐπισκόπου τὴν ἔξω τῶν τειχῶν τῆς πόλεως Πορτιανὴν λεγομένην Ἐκκλησίαν, ἵνα ἐν αὐτῇ ἑορτάσῃ μετὰ τῶν Ἀρειανῶν τὴν ἑορτὴν τοῦ

(1) Ep. XXIV.

(2) Relatio Symmachi ad Valentinianum 2 inter Op. Ambrosii T. II. pag. 828.

(3) Ep. XVII.

Πάσχα. Ὁ Ἀμβρόσιος ἠρνήθη· ἤτουν παρ᾽ αὐτοῦ ἐν ὀνόματι τοῦ Αὐτοκράτορος δύο ναούς, ἀλλ᾽ ἐπίσης ἠρνήθη. Κατ᾽ αὐτὴν τὴν Κυριακὴν τῶν Βαΐων ἀφίκετο εἰς τὸν ναὸν ὁ Ἔπαρχος, παρακολουθούμενος ὑπὸ σώματος στρατιωτῶν, ἵνα καταλάβωσι τοὺς ναούς, ἢ συλλάβωσι τὸν ἐπίσκοπον· ἀλλ᾽ οἱ στρατιῶται Γότθοι, ἀκούσαντες τοῦ ποιμένος ἐκφωνοῦντος λόγον περὶ δικαιοκρισίας τοῦ Θεοῦ ἐπὶ τῶν διωκτῶν τῆς Ἐκκλησίας, ἠρνήσαντο ποιήσασθαι τὴν ἀδικίαν. Ὁ Αὐτοκράτωρ κατέλιπε τὴν ἑαυτοῦ βουλήν(1)· ἀλλ᾽ ἡ Ἰουστίνη ἐχρήσατο ἑτέρᾳ πολλῷ σκληροτέρᾳ βίᾳ. Τῷ 386, κατὰ προτροπὴν αὐτῆς, ἐξεδόθη διάταγμα, δι᾽ οὗ μετεβάλλοντο αἱ διατάξεις τοῦ Γρατιανοῦ, καὶ ἐκηρύττετο πλήρης ἐλευθερία τοῖς Ἀρειανοῖς(2). Ὁ Ἀμβρόσιος ἔγνω γενέσθαι θῦμα, ἀλλὰ μὴ καταλιπεῖν τὰ δικαιώματα τῆς ἀληθείας· ἐπέστειλε τῷ Αὐτοκράτορι (3)· οἱ πιστοὶ μετὰ βαθείας θλίψεως περιεκύκλωσαν τὸν ποιμένα αὐτῶν, βουλόμενοι ὑπερασπίσαι αὐτὸν κατὰ τῆς βίας. Ὁ Ἀμβρόσιος ἔγραψε τότε ὕμνους εἰς δόξαν τῆς ἁγίας Τριάδος, ὧν ἡ μελῳδία κατεπράϋνε τὴν θλίψιν τῶν πιστῶν καὶ ἐστήριζεν αὐτοὺς εἰς τὴν ὀρθοδοξίαν (4). Τότε ἐπ᾽ ἴσης συνεγράφη τὸ σύγγραμμα *de mysteriis, sive de iis qui mysteriis initiantur* (περὶ τῶν Μυστηρίων, ἢ περὶ τῶν μυουμένων τὰ μυστήρια). Ὁ ἀρειανισμὸς ἐθριάμβευσεν, ἀλλ᾽ οὐκ εἰς μακρόν. Ὁ Μάξιμος ἐκήρυξε πόλεμον τῇ τῶν Μεδιολάνων αὐλῇ, καὶ πάλιν ἀπετάθησαν πρὸς τὸν Ἀμβρόσιον, ἐξ-

(1) Ep. XX. ad Marcellinum.

(2) Cod. Theodos. l. IV. de fide.—

(3) Ep. XXI.—

(4) Sermo de basilic. non tradendis, c. 34. «Hymnorum quoque meorum carminibus deceptum populum ferunt. Plane nec hoc abnuo. Grande carmen istud est, et quo nihil potentius». Ep. XX ad Sororem. Mabillon, iter stul. p. 17. Ruphin. H.E. II. 15. [Τοὺς ὕμνους τούτους ᾔδεν ἅπας ὁ λαὸς μετὰ τηλικαύτης εὐσεβείας καὶ ἐσωτερικοῦ πάθους, ὥστε πλεῖστοι ἔχεον δάκρυα. Βεβαίως ἁπάντων τούτων ἐγένετο μάρτυς αὐτόπτης, λέγων περὶ τῆς εὐσεβοῦς αὐτοῦ μητρὸς τάδε: «Ibi mater mea, ancilla tua, sollicitudinis et vigiliarum primas tenens, orationibus vivebat» (Lib. IX Confess c. 6. et 7)· καὶ περὶ ἑαυτοῦ λέγει: «Quantum flevi in hymnis et canticis suave sonantis Ecclesiæ tuæ commotus acriter?» Σ. Μ.].

αιτούμενοι βοήθειαν. Ὁ ποιμὴν ἀπῆλθε πρὸς τὸν τύραννον, ἤλεγξεν αὐτὸν τολμηρῶς ἐπὶ τῇ βασιλοκτονίᾳ, ἀλλὰ νῦν οὐκ ἠδυνήθη κωλύσαι αὐτὸν τῶν ἐπιβουλῶν αὐτοῦ. Ὁ Οὐαλεντινιανὸς καὶ ἡ Ἰουστίνη ἀπῆλθον ἐκ τῶν Μεδιολάνων εἰς Θεσσαλονίκην, αἰτησόμενοι παρὰ τοῦ Θεοδοσίου βοήθειαν. Ἡ τύχη τοῦ πολέμου ἀφεῖλε (τῷ 388) τόν τε θρόνον καὶ τὴν ζωὴν τοῦ Μαξίμου, ἀλλὰ καὶ ἡ Ἀρειανὴ Ἰουστίνη οὐκ ἐπανῆλθεν εἰς Μεδιόλανα. Ὁ Οὐαλεντινιανὸς ἐξέδωκε διάταγμα κατὰ πάντων τῶν αἱρετικῶν ([1]), καὶ ὁ ἅγιος Ἀμβρόσιος, ἑρμηνεύων τότε τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ, ἐκοινώνει τῷ ποιμνίῳ τὴν ἑαυτοῦ χαρὰν ἐπὶ τῇ κατὰ τοῦ ἀρειανισμοῦ νίκῃ([2]). Ὁ χρόνος τῆς κατὰ τὴν Δύσιν διατριβῆς τοῦ Θεοδοσίου ἦν ἐκεῖνος ὁ χρόνος, καθ' ὃν ὁ Θεοδόσιος καὶ ἡ Ἐκκλησία εἶδον ἐμπράκτως τὸ μεγαλεῖον τοῦ Ἀμβροσίου. Ὁ Θεοδόσιος ἦν τῇ τε Ἐκκλησίᾳ καὶ τῇ Αὐτοκρατορίᾳ μέγας, ἐσέβετο τὸν Ἀμβρόσιον, ἀλλ' ἦν τὰ μάλιστα εὐερέθιστος. Τῷ 388 ὁ Ἀμβρόσιος ἠνάγκασε τὸν ὀξύθυμον Θεοδόσιον ἀνακαλέσαι τὸ διάταγμα, δι' οὗ προσετάσσετο Ἐπισκόπῳ τινὶ ἀνεγεῖραι τὴν Συναγωγὴν τὴν ἐμπρησθεῖσαν ὑπὸ τῶν πιστῶν, παροξυνθέντων ὑπὸ τῶν Ἰουδαίων ([3]). Στάσις ἐν Θεσσαλονίκῃ γενομένη, ἠρέθισεν ἐκ νέου τὸν Αὐτοκράτορα. Ἐνταῦθα ἐφονεύθησάν τινες ἀξιωματικοί, ἀλλὰ τῇ διαταγῇ αὐτοῦ ἐθανατώθησαν ἀνηλεῶς οἱ ἐν τῷ ἱπποδρόμῳ συνελθόντες Θεσσαλονικεῖς. Ἐν βαθείᾳ θλίψει ἔγραψεν ὁ Ἀμβρόσιος ἐπιστολὴν πρὸς τὸν Θεοδόσιον, προτρέπων αὐτὸν πρὸς εἰλικρινῆ μετάνοιαν ([4]). Μεταμέλεια ἠγέρθη ἐν τῷ Θεοδοσίῳ, ὅστις μετέβη εἰς τὴν Ἐκκλησίαν, ἀλλ' εἰς τὰ πρόθυρα τοῦ ναοῦ ἤκουσε τῆς φωνῆς τοῦ Ἀμβροσίου λέγοντος: «ὡς ἐμιμήσω τὸν Δαυὶδ ἐν τῇ ἁμαρτίᾳ, οὕτω μίμησαι αὐτὸν καὶ ἐν τῇ μετανοίᾳ» (Paulin, in vit. S. Ambros 24.)[α].

([1]) Cod. Theodos. 1. 5. de haeret.

([2]) Comment. in Luc. l. IX.

([3]) Ep. XL. XLI.

([4]) Ep. LI. [«Τὸ ἁμάρτημα, λέγει πρὸς τοῖς ἄλλοις ὁ θεῖος πατήρ, συγχωρεῖται μόνον διὰ δακρύων καὶ μετανοίας. Οὔτε ἄγγελοι, οὔτε ἀρχάγγελοι δύνανται συγχωρῆσαι αὐτό. Αὐτὸς ὁ Κύριος συγχωρεῖ μόνοις τοῖς μετανοοῦσι. Συμβουλεύω σοι, δέομαί σου, προτρέπω σε, παραινῶ σοι. Οὐ προσοίσω τὴν θυσίαν, σοῦ παραγενησομένου ἐν τῷ ναῷ . . . . » Σ. Μ.].

[α] Οἱ ἐκκλησιαστικοὶ συγγραφεῖς ἔθηκαν ἐν τῷ στόματι τοῦ θείου πατρὸς λόγον ἧττον εὐαγγελικὸν καὶ

«Τί δέ ἀπαιτεῖ παρ' ἐμοῦ ὁ Θεός»; ἠρώτησε ταπεινῶς ὁ μέγας Αὐτοκράτωρ. «Ταυτό, ἀπεκρίνατο ὁ ποιμήν», «ὅπερ ὀφείλει ποιῆσαι πᾶς φονεύς· παρὰ τῷ Θεῷ οὐκ ἔστι προσωποληψία». Ὁ Θεοδόσιος, ὡς ἀφωρισμένος, ἔκλεισεν ἑαυτὸν ἐν τοῖς βασιλείοις αὐτοῦ — ταπεινὸς καὶ μετανοῶν. Ἔσθ' ὅτε διηγείρετο τὸ εὐερέθιστον αὐτοῦ ἀναλογιζομένου, ὅτι αὐτὸς Αὐτοκράτωρ ὤν, ἀφωρίσθη τῆς Ἐκκλησίας, καὶ οὐχ ἅπαξ ἐπειράθη αἰτήσασθαι τὴν ἀκύρωσιν τῆς ἀποφάσεως. Ἀλλ' ὁ Ἀμβρόσιος ἀπεκρίνετο, ὅτι ὁ Αὐτοκράτωρ ἔχει τὴν ἐξουσίαν ἀφελεῖν αὐτὸν τὴν ζωήν, ἀλλ' οὐ μεταβαλεῖν τὴν ἀπόφασιν τῆς Ἐκκλησίας. Πρὸ τῆς ἑορτῆς τῆς Γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ ὁ περίλυπος καὶ

ἧττον ἁπλοῦν, ἢ ἡ πρὸς τὸν Θεοδόσιον ἐπιστολὴ αὐτοῦ. Ὁ λόγος οὗτος ἐκφωνηθείς, κατ' αὐτούς, ἔξω τῶν προθύρων τοῦ ναοῦ, καθ' ἣν στιγμὴν ὁ Αὐτοκράτωρ ἔμελλεν ἐπιβῆναι τῶν ἱερῶν προπυλαίων ἔχει ὧδε: «Οὐκ οἶσθα, ὡς ἔοικεν, ὦ βασιλεῦ, τῆς εἰργασμένης μιαιφονίας τὸ μέγεθος, οὐδὲ μετὰ τὴν τοῦ θυμοῦ παῦλαν ὁ λογισμὸς ἐπέγνω τὸ τολμηθέν· οὐκ ἐᾷ γὰρ ἴσως τῆς βασιλείας ἡ δύναμις ἐπιγνῶναι τὴν ἁμαρτίαν, ἀλλ' ἐπιπροσθεῖ ἡ ἐξουσία τῷ λογισμῷ. Χρὴ μέν τοι εἰδέναι τὴν φύσιν, καὶ τὸ ταύτης θνητόν τε καὶ διαρρέον, καὶ τὸν πρόγονον χοῦν, ἐξ οὗ γεγόναμεν καὶ εἰς ὃν ἀπορρέομεν· καὶ μὴ τῷ ἄνθει τῆς ἁλουργίδος ἀποβουκολούμενον, ἀγνοεῖν τοῦ καλυπτομένου σώματος τὴν ἀσθένειαν. Ὁμοφυῶν ἄρχεις, ὦ βασιλεῦ, καὶ μὲν δὴ καὶ ὁμοδούλων· εἷς γὰρ ἁπάντων δεσπότης καὶ βασιλεύς, ὁ τῶν ὅλων Δημιουργός. Ποίοις τοίνυν ὀφθαλμοῖς ὄψει τὸν τοῦ κοινοῦ δεσπότου νεών; ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ ἅγιον; πῶς δὲ τὰς χεῖρας ἐκτενεῖς, ἀποσταζούσας ἔτι τοῦ ἀδίκου φόνου τὸ αἷμα; πῶς δὲ τοιαύταις ὑποδέξῃ χερσὶ τοῦ Δεσπότου τὸ πανάγιον σῶμα; πῶς δὲ τῷ στόματι προσοίσεις τὸ αἷμα τὸ τίμιον, τοσοῦτον διὰ τὸν τοῦ θυμοῦ λόγον ἐκχέας παρανόμως αἷμα; Ἄπιθι τοίνυν, καὶ μὴ πειρῶ τοῖς δευτέροις τὴν προτέραν αὔξειν παρανομίαν, καὶ δέχου τὸν δεσμόν, ᾧ ὁ Θεός, ὁ τῶν ὅλων Δεσπότης, ἄνωθεν γίγνεται σύμψηφος· ἰατρικὸς δὲ οὗτος, καὶ πρόξενος ὑγιείας» (Θεοδώρ. ἐκκλησ. ἱστορ. έ. 18). Ὁ λόγος οὗτος οὐχ εὕρηται ἐν τοῖς συγγράμμασι τοῦ θείου πατρός. Ὅπως καὶ ἂν ἔχῃ, λέγει ὁ περικλεέστατος Βιλλεμαῖνος, οὐδὲν ἐστιν αὐθεντικώτερον καὶ ἀξιομνημονευτότερον τῆς ἀπείρξεως ταύτης ἐκ τῆς Ἐκκλησίας, τῆς ἐπιβληθείσης ὑπὸ ἑνὸς ἱεράρχου Μονάρχῃ ὑπὸ τοῦ αἵματος τῶν ὑπηκόων αὐτοῦ χρανθέντος. Σ. Μ.—

ταπεινὸς Θεοδόσιος μετέβη, αἰτησόμενος παρὰ τοῦ ποιμένος ἄφεσιν, καὶ ὁ σοφὸς ποιμὴν τὸ μὲν πρῶτον ἔπεισεν αὐτόν, ἵνα προφυλάξῃ αὐτὸν τῶν ἐκ τοῦ εὐερεθίστου ἐπακολουθημάτων, ἐκδοῦναι διάταγμα, καθ' ὃ πᾶσα θανατικὴ ποινὴ ὤφειλε τελεῖσθαι μετὰ παρέλευσιν τριάκοντα ἡμερῶν ἀπὸ τῆς πρὸς τοῦτο ἐκδόσεως τοῦ διατάγματος, μετὰ δὲ τοῦτο ὁ Θεοδόσιος εἰσῆλθεν εἰς τὸν ναόν, φέρων τὴν ἐσθῆτα τοῦ μετανοοῦντος (1). Τῷ 391 ὁ Θεοδόσιος ἐπανῆλθεν εἰς τὴν Ἀνατολήν, τῷ δὲ 392 ὁ ἐθνικὸς Ἀρβογάστης ἐστέρησε τὴν ζωὴν τὸν Οὐαλεντινιανόν, καὶ περιέβαλε τὴν ἁλουργίδα θαλαμηπόλον τινὰ αὐτοῦ Εὐγένιον τοὔνομα. Ὁ Ἀμβρόσιος ἐθρήνησε τὸν θάνατον τοῦ Οὐαλεντινιανοῦ ἐν ἐπικηδείῳ λόγῳ, ὁ δὲ Εὐγένιος ἐκήρυξεν ἄκυρα τὰ κατὰ τῆς ἐθνικῆς θρησκείας διατάγματα (2). Ὁ Ἀμβρόσιος ἔγραψεν ἐν ἐπιστολῇ σφοδρὸν ἔλεγχον κατὰ τοῦ Εὐγενίου, τὸ ὄνομα μόνον Χριστιανοῦ (3). Ὁ τῇ βοηθείᾳ τοῦ Κυρίου Ἰησοῦ ἰσχυρὸς Θεοδόσιος κατενίκησε τοὺς ἐπαναστάτας· ὁ δὲ ἀγαθὸς ποιμὴν ἐμερίμνησε νῦν περὶ συγχωρήσεως τῶν μετασχόντων τοῦ πολέμου τοῦ Εὐγενίου, καὶ ἡ συγχώρησις ἐκηρύχθη ἅπασιν (4). Ἐν τῇ ἀρχῇ τοῦ 395 ἐτελεύτησεν ὁ μέγας Θεοδόσιος, καὶ ὁ Ἀμβρόσιος ἐτίμησε τὴν μνήμην αὐτοῦ διὰ λόγου. Μετὰ τοῦτο ὑπέμνησε τὸ ποίμνιον τὴν σκληρότητα τῶν πλουσίων ἐν τῇ ὁμιλίᾳ περὶ Ναβουθαί· καὶ κατὰ τὸ μέγα Σάββατον τοῦ 397 « eximius Dei sacerdos, qui a manu Domini non recedens, in Dei semper digito, quasi gemma rutilavit » (ὁ ἔξοχος τοῦ Θεοῦ ἱερεύς, ὃς ἀπὸ τῆς χειρὸς τοῦ Κυρίου οὐκ ἀφιστάμενος, ἐν τῷ τοῦ Θεοῦ ἀείποτε δακτύλῳ, ὡς πολυτελὴς λίθος ἔλαμψεν), (5) ἐξεδήμησε πρὸς Κύριον.—

(1) Θεοδώρ. ἐκκλ. ἱστορ. Ε', 17. 18. August. de civit. Dei V, 29. Ambros. ep. XV. Paul. in. vit. S. Ambros.

(2) Σωζόμ. 7, 22. Rufin II. 33.

(3) Ep. ad Eugenium LVII.

(4) Ep. LXI, LXII. Θεοδώρ. ε', 24. Σωζόμ. ζ'. 22. Εὐάγρ. α', 25. August. de civit. Dei. Ὁ Claud. Paneg. Cons. Honor. ἔγραψε περὶ τοῦ Θεοδοσίου:

» O nimium dilecte Deo, cui militat aër

» Et fortunati veniunt ad classica venti

(5) Cassian. de incarnatione Domini lib. VII. Ἡ μνήμη τοῦ ἁγίου Ἀμβροσίου τῇ ζ'. Δεκεμβρίου.—

§. 160. Ὁ ἅγιος Ἀμβρόσιος ὡς διδάσκαλος· ἑρμηνεία αὐτοῦ εἰς τὴν ἁγίαν Γραφήν. Δογματικὰ συγγράμματα·

Ἐν τῇ ἱστορίᾳ τῶν ποιμένων τῆς Ἐκκλησίας ὁ ἅγιος Ἀμβρόσιος παρίσταται ποιμὴν ἐκπλήττων τὸν αἰῶνα. Ὁ Κύριος τῆς Ἐκκλησίας ἐξελέξατο καὶ ἐνίσχυεν αὐτὸν ἐν τούτῳ τῷ μεγάλῳ ἀξιώματι εἰς παράδειγμα τῶν αἰώνων. Ἀλλ' ἕκαστος ἔχει τὸ οἰκεῖον. Ἡ ἱστορία τοῦ βίου τοῦ Ἀμβροσίου δείκνυσιν, ὅτι οὐ πολὺν εἶχε χρόνον κτήσασθαι τὴν ἀναγκαίαν τῷ χριστιανῷ διδασκάλῳ ἐκπαίδευσιν. Μέχρι τοῦ χρόνου, καθ' ὃν ἀνέβη ἐπὶ τοῦ ποιμαντικοῦ θρόνου ἠσχολεῖτο, ὁτὲ μὲν περὶ τὸ προπαρασκευάσαι ἑαυτὸν πρὸς τὰ κοσμικὰ ἀξιώματα, ὁτὲ δὲ ἠσχολεῖτο περὶ αὐτά. Αὐτὸς ὁ ποιμὴν ᾐσθάνετο, ὅτι εἶχεν ἔλλειψιν πολλῶν, ἃ οὐκ εἶχε καιρὸν κτήσασθαι. « Ἁρπαγείς, λέγει, ἐκ τῶν δικαστηρίων πρὸς τὴν ἱερωσύνην, ἠρξάμην διδάσκειν ὑμᾶς, ἐκεῖνα, ἅπερ ἐγὼ οὐκ ἐδιδάχθην. Καὶ οὕτως ὀφείλω διδάσκειν τε καὶ διδάσκεσθαι, οὐκ ὄντος πρότερον χρόνου διδαχθῆναί με » (¹). Καὶ κατὰ τὸν χρόνον τοῦ ποιμαντικοῦ ὑπουργήματος οἷος τρικυμιώδης χρόνος ἦν τῷ τῶν Μεδιολάνων ποιμένι! Οὐδὲν τοίνυν θαυμαστόν, εἰ τὰ συγγράμματα τοῦ ἁγίου Ἀμβροσίου οὐκ ἀνταποκρίνονται πρὸς τὸ μέγα αὐτοῦ ὄνομα καὶ οὐκ εἰσὶν οὕτω τέλεια, παραβαλλόμενα πρὸς τὰ συγγράμματα πολλῶν ἄλλων διδασκάλων. Ἐπὶ τῆς χριστιανικῆς καθέδρας ἐποιεῖτο χρῆσιν πρὸ πάντων ἐκείνου, ὅπερ ἐκτήσατο ἐπὶ τοῦ θρόνου τοῦ Ἐπάρχου, καὶ κατὰ τοῦτο οὐ σμικρὰν ὠφέλειαν παρέσχε τῇ Ἐκκλησίᾳ. Ὁ Ἀμβρόσιος ἔχων τὸ τοῦ λόγου δῶρον, ἔγραφεν ἄνευ κόπου πολλά, καὶ διὰ τοῦτο κατέλιπε πολλὰ συγγράμματα (²).—

(¹) Lib. I. de offic c. I.

(²) Ἡ ἐν Ῥώμῃ γενομένη ἔκδοσις τῶν συγγραμμάτων τοῦ ἁγίου Ἀμβροσίου (Romæ 1579—1587), περὶ ἣν ἠσχολήθη ὁ καρδινάλιος Μοντάλτιος, ἔπειτα πάπας, Σῆξτος Ε΄ μετονομασθείς, ἐστὶν ὡραιοτάτη κατὰ τὸ ἐξωτερικὸν ἀλλὰ δυσειδεστάτη κατὰ τὸ περιεχόμενον. Ὁ Καρδινάλιος οὐκ ὀρθῶς ἐνόει τὰς ἐννοίας τοῦ Ἀμβροσίου, τὸ δ' ἔτι χεῖρον, ὁτὲ μὲν προσετίθει, ὁτὲ δὲ ἀφῄρει, ὅ,τι ἔκρινε προσθήκης καὶ ἀφαιρέσεως ἄξιον, ὅπως ἀναγκάσῃ τὸν ἅγιον Ἀμβρόσιον γενέσθαι κήρυκα τῶν τοῦ Βατικανοῦ αὐθαιρεσιῶν. Οὕτως ἀποφαίνονται περὶ αὐτοῦ καὶ αὐτοὶ οἱ παπισταί· π. χ. ὁ εἰλικρι-

Αὐτὸς ὁ ἅγιος Ἀμβρόσιος λέγει, ὅτι «ὅπως διδάσκῃ καὶ μανθάνῃ τὴν ἁγίαν Γραφήν», ἐξεφώνει πολλοὺς λόγους περὶ τῆς ἁγίας Γραφῆς(1) Ἡ ἑρμηνεία αὐτοῦ εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ δύναται εὐλόγως ταχθῆναι ἐν τοῖς πρὸς κατάληψιν τοῦ ἁγίου Εὐαγγελίου ἐγχειριδείοις. Μετὰ τὴν γενικὴν ἐπιθεώρησιν τοῦ Εὐαγγελίου τοῦ ἁγίου Λουκᾶ ἐρευνᾷ μετὰ προσοχῆς τὴν κατὰ γράμμα ἔννοιαν τῶν λέξεων τοῦ Εὐαγγελιστοῦ, παραβάλλει τὰ ὑπ' αὐτοῦ λεγόμενα πρὸς τὰ τῶν ἄλλων Εὐαγγελιστῶν, λύει τὰς ἀπορίας περὶ τῆς φαινομένης διαφωνίας αὐτῶν καὶ ἔσθ' ὅτε ἀποτείνεται καὶ κατὰ τῶν αἱρετικῶν. Ἐν δὲ τῇ ἑρμηνείᾳ τῆς Παλαιᾶς Διαθήκης ἡγεῖτο ἀναγκαῖον εἰσδύειν εἰς τὴν ἔννοιαν τοῦ πρωτοτύπου κειμένου—τοῦ ἑβραϊκοῦ(2), ἀλλ' ἠγνόει τὴν ἑβραϊκὴν γλῶσσαν, καὶ τῆς ἑλληνικῆς οὐκ ἦν ἱκανῶς ἐγκρατής. Αἱ εἰς τὴν Παλαιὰν Διαθήκην ἑρμηνεῖαι αὐτοῦ εἰσιν, ὡς ἐπὶ τὸ πολύ, μίμησις τῶν προγενεστέρων Πατέρων. Τὰ ἓξ βιβλία εἰς τὴν ἑξαήμερον εἰσι μετάφρασις τῆς τοῦ μεγάλου Βασιλείου μετὰ συμπληρώσεων ἐκ τοῦ Ὠριγένους καὶ τοῦ Ἱππολύτου. Ἐν τῇ ἑρμηνείᾳ in Psalmos XII (εἰς 12 ψαλμοὺς) καὶ ἐν τῇ ἑρμηνείᾳ in Psalmum CXVIII (εἰς τὸν ψαλμὸν ριη.) οὐ σπανίως ὡσαύτως ἐπαναλαμβάνονται οἱ λόγοι τοῦ μεγάλου Βασιλείου καὶ τοῦ Ὠριγένους, μὴ ἐξαιρουμένων καὶ τῶν αὐθαιρέτων δοξασιῶν τοῦ τελευταίου. Τὰ ἐξηγητικὰ συγ-

νῆς Δουπῖνος καὶ οἱ Βενεδικτινοί, οἵτινες οὐκ ὀλίγους ὑπέστησαν πόνους, ἵνα ἐν τῇ νέᾳ αὐτῶν ἐκδόσει ἐξεργάσωνται τὰ συγγράμματα τοῦ Ἀμβροσίου. Ἡ ἔκδοσις αὐτῶν: Paris. 1686—90. 2 tom. f. ed. Jac. du Friche et Nicolas le Nourry. Venet. 1748 2 tom. f. Ὁ Γαλλάνδιος, μετὰ τοὺς Βενεδικτινούς, ἐπερειδόμενος ἐπὶ ἀρχαίων χειρογράφων, ἀποδίδωσι τῷ Ἀμβροσίῳ τὴν ἐκ τοῦ Φλαβίου ἐξαχθεῖσαν διήγησιν περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλήμ, ἀφαιρεθεῖσαν ὑπὸ τῶν Βενεδικτινῶν ἐκ τοῦ ἀριθμοῦ τῶν συγγραμμάτων τοῦ Θείου Πατρός. Νεωτάτη ἔκδοσις: Op. S. Ambrosi ed. a Migne, Paris. 1845. Ἐνταῦθα ὁ τέταρτος τόμος περιέχει τὰ ὑποβολιμαῖα συγγράμματα.

(1) Lib. I. de offic. c. 1. §. 3.

(2) «Sensus ergo nobis spectandus est semper: quem etiam ipsum frequens translatio ex hebræo in græcum, ex græco in latinum abtenuare consuevit». Ambros. in Psalm. XXXVII. §. 49. Πολλάκις ἀναφέρει τὰς μεταφράσεις τοῦ Ἀκύλα, τοῦ Συμμάχου, καὶ τοῦ Θεοδοτίωνος.

γράμματα *de Paradiso* (περὶ τοῦ Παραδείσου), *de Abel et Cain* (περὶ Ἄβελ καὶ Κάϊν), *de Noe et arca* (περὶ τοῦ Νῶε καὶ τῆς κιβωτοῦ), *de Abraham patriarcha* (περὶ τοῦ Πατριάρχου Ἀβραάμ), *de Isaac et anima* (περὶ Ἰσαὰκ καὶ περὶ ψυχῆς), *de Iacob et vita beata* (περὶ Ἰακὼβ καὶ τῆς μακαρίας ζωῆς), *de benedictionibus Patriarcharum* (περὶ τῶν εὐλογιῶν τῶν Πατριαρχῶν), καὶ *de interpellatione Iob et Davidis* (περὶ ἐγκλήσεως Ἰὼβ καὶ Δαυῒδ) εἰσιν ὠφέλιμα διὰ τὰς ἐν αὐτοῖς ἠθικὰς ἐννοίας, ἀλλὰ εἰσὶ πλήρη ἀλληγορικῶν ἑρμηνειῶν, καὶ οὐκ ἐξοικειοῦσι τὸν ἀναγνώστην πρὸς τὴν ἀκριβῆ ἔννοιαν τῆς θεοπνεύστου Γραφῆς.

Ἐν τοῖς δογματικοῖς συγγράμμασι τοῦ ἁγίου Ἀμβροσίου τάσσονται τὰ πέντε βιβλία *de fide* (περὶ πίστεως), *tractatus in Symbolum Apostolorum* (πραγματεία περὶ τοῦ ἀποστολικοῦ συμβόλου), *Sermo de incarnationis dominicae Sacramento* (λόγος περὶ τοῦ μυστηρίου τῆς ἐνσαρκώσεως τοῦ Κυρίου), *de Spiritu Sancto libri III* (περὶ τοῦ ἁγίου Πνεύματος βιβλία 3), *de mysteriis, sive de iis, qui mysteriis initiantur* (περὶ τῶν μυστηρίων, ἢ περὶ τῶν μυουμένων τὰ μυστήρια), *de pœnitentia libri II* (περὶ μετανοίας βιβλία δύο), ἡ περὶ ἀ ν α σ τ ά σ ε ω ς διδασκαλία, ἐκτεθεῖσα ἐν τοῖς δυσὶ βιβλίοις *de excessu fratris sui Satyri* (περὶ τοῦ θανάτου τοῦ ἀδελφοῦ αὐτοῦ Σατύρου), ἐν τῷ λόγῳ *de obitu Valentiniani* (περὶ τοῦ θανάτου τοῦ Οὐαλεντινιανοῦ), καὶ ἐν τῷ *de obitu Theodosii imperatoris* (περὶ τοῦ θανάτου Θεοδοσίου τοῦ Αὐτοκράτορος). Τὰ πρῶτα τρία συγγράμματα (de fide, tractatus in Symbolum Apostolorum, sermo de incarnationis Dominicæ sacramento) μετεφράσθησαν, ζῶντος τοῦ ἁγίου Ἀμβροσίου, εἰς τὴν ἑλληνικὴν γλῶσσαν, καὶ πολλάκις ἀνεφέροντο εἰς μαρτυρίαν τῆς ἐκκλησιαστικῆς διδασκαλίας ἐν τῇ ἑλληνικῇ Ἐκκλησίᾳ ([1]). Τὰ

([1]) Τεμάχιά τινα τῶν μεταφράσεων τούτων σώζονται παρὰ τῷ Θεοδωρήτῳ (Διάλ. β'. καὶ γ'.), ἐν τοῖς πρακτικοῖς τῆς ς'. (Πράξ. δ'. 1), καὶ τῆς Ζ'. Οἰκουμενικῆς Συνόδου (Πρᾶξις ς'.), ἐν τῇ συλλογῇ τοῦ Ἰουστινιανοῦ παρὰ Λεοντίῳ καὶ ἄλλα παρὰ Μαΐῳ collect. vet. Auct. Tom. VII (ἐκ τοῦ λόγου de incarnationis Dominicæ sacramento) p. 7. 14. 15. 18. 137. 307. (ἐκ τῆς πραγματείας in Symbolum Apostolorum) p. 131. 134. 285.—

βιβλία *de fide* (περὶ πίστεως), τὰ γραφέντα, ὡς εἴδομεν, κατὰ τῶν Ἀρειανῶν, περιέχουσι βραχεῖαν καὶ σαφῆ ἔκθεσιν τῶν ἀποδείξεων τοῦ ὁμοουσίου τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρὶ καὶ ἀγχίνοας ἀνασκευὰς τῶν ἐνστάσεων τῶν Ἀρειανῶν. Τὸ δὲ βιβλίον de mysteriis, sive de iis, qui mysteriis initiantur (περὶ τῶν μυστηρίων, ἢ περὶ τῶν μυουμένων τὰ μυστήρια), οὗ διακριτέον τὸ *de Sacramentis*, ὅπερ, καί περ ἀρχαῖον ὄν, οὐκ ἀνήκει εἰς τὸν ἅγιον Ἀμβρόσιον (¹), καὶ τὰ δύο βιβλία de poenitentia (περὶ μετανοίας) εἰσι πολύτιμα διὰ τὴν περὶ τῶν μυστηρίων διδασκαλίαν. Ἐν τῷ περὶ μυστηρίων βιβλίῳ, ὅπερ ἐν πολλοῖς ἐστιν ὅμοιον ταῖς Κατηχήσεσι τοῦ ἁγίου Κυρίλλου, ποιεῖται λόγον περὶ τοῦ Βαπτίσματος (§. 1—5.), περὶ τοῦ Χρίσματος (§. 6—7), καὶ τῆς ἁγίας Εὐχαριστίας (8—9). Περὶ τοῦ πρώτου γράφει: «Ἡ ἀόρατος χάρις τοῦ ἁγίου Πνεύματος παροῦσα, ἐνεργεῖ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν» [*]. Περὶ δὲ τοῦ ἄρτου τῆς Εὐχαριστίας λέ-

(¹) Τὸ σύγγραμμα de Sacramentis (περὶ μυστηρίων) ἦν γνωστὸν ἀπὸ τοῦ ή. αἰῶνος ὑπὸ τὸ ὄνομα τοῦ Μεδιολάνων Ἀμβροσίου, ἀλλ' οὐκ ἀνήκει εἰς αὐτόν, διότι: ά.] ὁ συγγραφεὺς ὡς ἐπὶ τὸ πολὺ πλατύνει τοὺς λόγους καὶ τὰς ἐννοίας τῶν γνησίων συγγραμμάτων τοῦ Ἀμβροσίου de mysteriis καὶ de virginis institutione, καὶ οὐ πολλὰ προστίθησιν οἴκοθεν. β'.] ἡ λέξις, εἰ καὶ προσεγγίζει τῇ τοῦ Αμβροσίου, ἀλλ' οὐκ ἔστιν αὐτοῦ. γ'.] τὸ ἀρχαῖον χειρόγραφον οὐ φέρει τὸ ὄνομα αὐτοῦ· Οὐ μὴν ἀλλὰ ἐγράφη: αα] ἔτι ὅτε ἦσαν πολλοὶ εἰδωλολάτραι· ϐϐ] ὅτε ἐβαπτίζοντο οἱ ἐνήλικες· γγ] ὅτε οὐκ εἰσήχθη ἔτι τὸ κείμενον τῆς ἁγίας Γραφῆς τὸ ὑπὸ τοῦ Ἱερωνύμου ἐπιδιορθωθέν. Διὸ ἀνήκει εἰς χρόνον πλησιάζοντα τῇ ἐποχῇ τοῦ ἁγίου Ἀμβροσίου, καὶ διὰ τοῦτο διὰ τὴν περὶ τῶν μυστηρίων διδασκαλίαν ἐστὶ σπουδαῖον.—

[*] Περὶ τοῦ ἁγίου βαπτίσματος ποιεῖται λόγον ὁ Θεῖος Πατὴρ καὶ ἀλλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ. Ἐν τῇ ἑρμηνείᾳ εἰς τὸν ριή. ψαλμὸν λέγει: «Unum est baptisma quod hic tradit Ecclesia, per aquam et Spiritum Sanctum, quo necesse est baptizari catechumenos». Ἐν τῇ ἐπιστολῇ 72 ad Constantium: «Plurima baptismatum genera præmissa sunt, quia secuturum erat verum illud unum in Spiritu et aqua sacramentum baptismatis, quo totus redimitur homo». Ἐν τῷ βιβλίῳ de Elia, pag. 562: «Nemo nisi per aquam et Spiritum ascendit in regnum Cœlorum». Ἐν τῇ ἐπ. 7 ad Justum: «Nec enim fides sola ad perfecti

γει, ὅτι οὐκ ἔστιν ἁπλοῦς ἄρτος, ἀλλ' ἡ ἀληθὴς σὰρξ ἡ προσηλωθεῖσα τῷ Σταυρῷ, καὶ ἀποδείκνυσι τοῦτο διὰ παραδειγμάτων [α]. Ἐν

onem satis est, nisi etiam baptismatis adipiscatur gratiam, et sanguinem Christi redemptus accipiat.» ἴδ. καὶ de obitu Valentiniani pag. 1138. lib 2 de Abraham. pag. 349. lib. 8 in Luc. pag. 1491. lib. 2. pag. 1307. de jejunio, pag. 562. de exhort. virgint. Σ. Μ.

[α] Ὁ νεοφώτιστος μετέβαινεν ἐκ τοῦ βαπτιστηρίου εἰς τὸ θυσιαστήριον πλήρης ἁγίου ἐνθουσιασμοῦ, μεταληψόμενος τοῦ παναγίου σώματος καὶ αἵματος τοῦ Κυρίου. Ὁ ἅγιος Ἀμβρόσιος λέγει, ὅτι ἡ τροφή, ἣν ὁ νεοφώτιστος ἐλάμβανεν, ἐστιν ἀπειράκις ἀνωτέρα τοῦ Μάννα, ὅπερ οὐκ ἠδυνήθη ἀπαλλάξαι τοῦ θανάτου τοὺς φαγόντας ἐν τῇ ἐρήμῳ· ὅτι ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ διδοὺς τὴν αἰώνιον ζωήν· ὅτι ἐστιν ἄφθαρτον μάννα μεταδιδὸν τὴν ἀφθαρσίαν αὐτοῦ τοῖς ἀξίως μεταλαμβάνουσιν· ὅτι ἐστιν ἡ ἀλήθεια, ἧς τὸ μάννα ἦν τύπος (de mysteriis pag. 337). «Ἴσως εἴποις ἄν, προστίθησιν, ἄλλο ὁρῶ, πῶς σὺ λέγεις, ὅτι δέξομαι τὸ σῶμα τοῦ Χριστοῦ; Τοῦτο ἀποδείξω ὑμῖν. Τίσιν οὖν χρώμεθα παραδείγμασιν; Ἀποδείξωμεν ὅτι οὐκ ἔστι τοῦτο, ὅπερ ἐποίησεν ἡ φύσις, ἀλλ' ὅπερ ἡ εὐλογία καθηγίασε, καὶ ὅτι μείζων ἐστὶν ἡ δύναμις τῆς εὐλογίας τῆς φύσεως, διότι τῇ εὐλογίᾳ καὶ αὐτὴ ἡ φύσις μεταβάλλεται. Ῥάβδον εἶχεν ἐν τῇ χειρὶ ὁ Μωϋσῆς, ἔρριψεν αὐτήν, καὶ ἐγένετο ὄφις. Ἔλαβε πάλιν τὴν οὐρὰν τοῦ ὄφεως, καὶ ἐν τῇ ῥάβδῳ μετέβαλε τὴν φύσιν. Ὁρᾷς οὖν, ὅτι δὶς μετεβλήθη τῇ προφητικῇ χάριτι ἡ φύσις τοῦ τε ὄφεως καὶ τῆς ῥάβδου; Ἔρρεον οἱ ποταμοὶ τῆς Αἰγύπτου τῇ καθαρᾷ τῶν ὑδάτων κινήσει, αἴφνης ἐκ τῶν φλεβῶν τῶν πηγῶν αἷμα ἤρξατο ἀναπηδᾷν· καὶ οὐκ ἦν τόπος ἐν τοῖς ποταμοῖς. Πάλιν τῇ προσευχῇ τοῦ προφήτου οἱ ποταμοὶ ἀνέλαβον τὴν πρώτην αὐτῶν φύσιν . . . Εἰ δὲ τοσοῦτον ἴσχυσεν ἡ ἀνθρωπίνη εὐλογία, ὥστε μεταβαλεῖν τὴν φύσιν, τί λέγομεν περὶ αὐτοῦ τοῦ θείου καθαγιασμοῦ, ἔνθα αὐτὰ τὰ ῥήματα τοῦ Κυρίου καὶ Σωτῆρος ἐνεργοῦσιν; Διότι τὸ μυστήριον, ὅπερ λαμβάνεις, τῷ λόγῳ τοῦ Χριστοῦ ἐπιτελεῖται. Εἰ τοσοῦτον ἴσχυσεν ὁ λόγος τοῦ Ἠλιοῦ, ὥστε καταβιβάσαι πῦρ ἐκ τοῦ οὐρανοῦ, οὐκ ἰσχύει ὁ λόγος τοῦ Χριστοῦ μεταβαλεῖν τὰ εἴδη τῶν στοιχείων; Περὶ τῶν ἔργων παντὸς τοῦ κόσμου ἀνέγνως: ὅ τ ι α ὐ τ ὸ ς ε ἶ π ε κ α ὶ ἐ γ ε ν ή θ η σ α ν κ. τ. λ. Ὁ λόγος ἄρα τοῦ Χριστοῦ, ὃς ἠδυνήθη ἐκ τοῦ μηδενὸς ποιῆσαι ὅ,τι οὐκ ἦν, οὐ δύναται μεταβαλεῖν τὰ ὄντα εἰς ὅ,τι οὐκ ἦσαν; Οὐ γὰρ ἔλαττόν ἐστι τὸ διδόναι τοῖς πράγμασι νέας φύσεις

τοῖς βιβλίοις de poenitentia (περὶ μετανοίας) διδάσκει περὶ τοῦ ἀ-

---

τοῦ μεταβάλλειν αὐτάς» (de myster. pag. 338). «Ἀλλὰ τὶς ἡ χρεία καταφεύγειν εἰς παρομοίας ἀποδείξεις καὶ ἐρείδεσθαι παραδείγμασιν ἔχουσιν ἀναφορὰν ἀφισταμένην τοῦ μυστηρίου τῆς Εὐχαριστίας; Ἡ ἀλήθεια βεβαιοῦται ἀρκούντως τῷ παραδείγματι τῆς Ἐνανθρωπήσεως. Παρθένος ἐγέννησε· τοῦτο ἐστὶν ἐναντίον τῆς τάξεως τῆς φύσεως. . . . τί ἐνταῦθα ζητεῖς τὴν τάξιν τῆς φύσεως ἐν τῷ σώματι τοῦ Χριστοῦ, ὅτε αὐτὸς ὁ Κύριος Ἰησοῦς ἐναντίον τῆς τάξεως τῆς φύσεως ἐγεννήθη ἐκ Παρθένου; Ὁ Ἰησοῦς Χριστὸς ἔσχεν ἀληθῆ σάρκα, ἣ προσηλώθη τῷ σταυρῷ καὶ ἐτέθη ἐν τῷ τάφῳ. Ἡ Εὐχαριστία ἐστὶν ἀληθῶς τὸ μυστήριον ταύτης τῆς σαρκός. Αὐτὸς ὁ Κύριος Ἰησοῦς λέγει: *Τοῦτό ἐστι τὸ σῶμά μου.* Πρὸ τῆς εὐλογίας τῶν οὐρανίων τούτων λόγων ἐστὶν ἄλλη φύσις, μετὰ τὴν εὐλογίαν ἐστὶ τὸ σῶμα. Αὐτὸς λέγει τὸ αἷμα αὐτοῦ. Πρὸ τῆς εὐλογίας ἄλλο λέγεται, μετὰ τὴν εὐλογίαν ὀνομάζεται τὸ αἷμα (τοῦ Ἰησοῦ Χριστοῦ). Καὶ σὺ λέγεις: Ἀμήν, δηλονότι, ἀληθές ἐστιν. Ὅ,τι λέγει τὸ στόμα, τὸ πνεῦμα ὁμολογεῖ ἔνδον . . .» (de mysteriis, pag. 339 et 340). «Ἡ βρῶσις αὕτη στηρίζει τὴν καρδίαν ἡμῶν, καὶ τὸ ποτὸν τοῦτο εὐφραίνει καρδίαν ἀνθρώπου, ὡς ἐμνημόνευσεν ὁ Προφήτης» (αὐτόθ. pag. 341). Ὁ ἅγιος Ἀμβρόσιος λέγει ἔτι, ὅτι, ὅτε κοινωνοῦμεν, τρώγομεν τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ καὶ πίνομεν Αὐτοῦ τὸ αἷμα, ὅτι λαμβάνομεν ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, ὅτι ὀφείλομεν δέχεσθαι αὐτὰ πρὸ πάσης ἄλλης τροφῆς, ὅτι ὅπου ἐστὶ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ, ἐκεῖ ἐστιν ὡσαύτως ὁ Ἰησοῦς Χριστός (in Psalm. 118. p. 1073)· ὅτι οὔτε ὁ Καϊάφας, οὔτε ὁ Πιλάτος ἀφεῖλεν ἡμᾶς τὸν Ἰησοῦν Χριστόν, διότι ἔχομεν Αὐτόν, καὶ τρώγομεν τὴν σάρκα Αὐτοῦ καὶ πίνομεν τὸ αἷμα (lib. V. in Luc. pag. 1360)· ὅτι ὁσάκις δεχόμεθα τὸ μυστήριον, ὅπερ διὰ τῆς ἱερᾶς προσευχῆς μεταβάλλεται εἰς σῶμα καὶ αἷμα τοῦ Σωτῆρος, τοσάκις τὸν θάνατον τοῦ Κυρίου καταγγέλλομεν (de fide, lib. IV. pag. 543). «Εἴδομεν, λέγει, τὸν ἀρχιερέα ἐρχόμενον πρὸς ἡμᾶς, εἴδομεν καὶ ἠκούσαμεν αὐτοῦ προσφέροντος ὑπὲρ ἡμῶν τὸ ἑαυτοῦ αἷμα· ἑπόμεθα αὐτῷ, ὡς δυνάμεθα οἱ ἱερεῖς, ἵνα προσφέρωμεν τὴν θυσίαν ὑπὲρ τοῦ λαοῦ, εἰ καὶ ἀσθενεῖς κατὰ τὴν ἀξίαν, ἀλλ' ὅμως σεβαστοὶ διὰ τὴν θυσίαν· διότι εἰ καὶ νῦν ὁ Χριστὸς οὐχ ὁρᾶται προσφέρων, ὅμως Αὐτὸς προσφέρεται ἐπὶ τῆς γῆς, ὅτε τὸ σῶμα τοῦ Χριστοῦ προσφέρεται» (in Psalm. 38. pag. 853). «Ἡ σκιὰ ἐν τῷ νόμῳ, ἡ εἰκὼν ἐν τῷ Εὐαγγελίῳ, ἡ ἀλήθεια ἐν τοῖς οὐρανίοις. Πρότερον προσεφέρε-

ναγκαίου τῆς Ἐξομολογήσεως καὶ περὶ τῆς ἐξουσίας τῆς δοθείσης ὑπὸ τοῦ Κυρίου τοῦ ἀφιέναι τὰς ἁμαρτίας. Τὰ τρία βιβλία περὶ τοῦ ἁγίου Πνεύματός εἰσιν ἐκλογὴ ἐκ τῶν συγγραμμάτων Βασιλείου, τοῦ Μ., Ἀθανασίου καὶ Διδύμου. Ἐν τούτοις τοῖς βιβλίοις (1) οὔτε ἡ λέξις, οὔτε ἡ δύναμις τῶν ἐννοιῶν ἤρεσκε τῷ Ἱερωνύμῳ· ἀλλ' ὁ Αὐγουστῖνος ἀνέφερε τὸ σύγγραμμα ὡς παράδειγμα ἁπλοῦ ὕφους καὶ ἐσημείωσεν: «αὐτὴ ἡ ὑπόθεσις διὰ τὸ ὕψος αὐτῆς οὐκ ἀπαιτεῖ καλλονὴν φράσεως, οὔτε ἰσχυρὸν αἴσθημα πρὸς συγκίνησιν τῆς καρδίας, ἀλλ' ἀποδείξεις καὶ διασαφήσεις» (2). Περὶ δογματικῶν ὑποθέσεων προὐτίθει μελέτας καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ (3).

§. 161. Ἠθικὰ συγγράμματα· λειτουργικαὶ διατάξεις.

Τὸ ἄριστον τῶν συγγραμμάτων τοῦ ἁγίου Ἀμβροσίου ἐστὶ τὸ *de officiis* (περὶ τῶν καθηκόντων). Κατὰ τὰ ἀρχαῖα ἀπόγραφα τὰ τρία περὶ καθηκόντων βιβλία ὁρίζονται διὰ τοὺς λειτουργοὺς τῆς Ἐκκλησίας· περιέχουσι δὲ ἔκθεσιν τῶν καθηκόντων τοῦ Χριστιανοῦ ἀναγομένην εἰς γενικὰς ἀρχὰς καὶ διδασκαλίας διὰ τοὺς λειτουργοὺς τῆς Ἐκκλησίας. Ὁ ἅγιος Ἀμβρόσιος

το ἀμνός, προσεφέρετο καὶ μόσχος, νῦν δὲ προσφέρεται ὁ Χριστός, ἀλλὰ προσφέρεται ὡς ἄνθρωπος καὶ ὡς πάσχων ὑπὲρ ἡμῶν. Καὶ προσφέρει Αὐτὸς ἑαυτὸν ὡς ἱερεύς, ἵνα ἐξαλείψῃ τὰ ἁμαρτήματα ἡμῶν» (De offic. pag. 63). Περὶ τοῦ παναγίου τούτου μυστηρίου ποιεῖται λόγον ὁ ἱερὸς Πατὴρ ἔτι in lib. I. in Luc. pag. 1275. lib. VII. p. 1466. De Spirit. S. lib. III. pag. 681. lib. X. in Luc. p. 1533. in Psalm. CXVIII. pag. 1202. de offic. pag. 55. De obitu Satyri, lib. I. pag. 1225. De Jejunio, pag. 544. De Virgin. lib. III. pag. 177. Ep. XL ad Theodos Aug. num. 1. pag. 946. καὶ ἀλλαχοῦ. Σ. Μ —

(1) Ὁ Ἱερώνυμος: «ex graecis bonis opus latinum confecit non bonum (ap. Rufin. lib. 2. Invectiv. in Hieron.). «Nihil ibi dialecticum, nihil virile atque districtum, quod lectorem vel ingratis in assensum trahat: sed totum flaccidum, molle, nitidum atque formosum, et exquisitis hinc inde odoribus pigmentatum». Ep. ad Paulinian. in lib. Didymi de Spiritu Sancto».

(2) De doctrin. Christian. lib. IV. c. 21.

(3) Ep. XVIII. XXXIV—XXXVI. XLIII-XLVIII. LXXVII. LXXVIII.

παρωρμήθη εἰς τὴν σύνταξιν τοῦ συγγράμματος τούτου ἐκ τοῦ de officiis βιβλίου τοῦ Κικέρωνος, καὶ ἠβουλήθη δεῖξαι τὴν ὑπεροχὴν τῆς χριστιανικῆς ἠθικῆς πρὸς τὴν τῶν ἀρίστων ἐθνικῶν. Περὶ τῆς χριστιανικῆς ἠθικῆς ἔγραψε πολλὰ ὁ ἅγιος Ἀμβρόσιος. Τοιαῦτα τὰ συγγράμματα αὐτοῦ: *de fuga saeculi* (περὶ φυγῆς τοῦ αἰῶνος), *de Jacob et vita beata libri II* (περὶ Ἰακὼβ καὶ τῆς μακαρίας ζωῆς βιβλ. β΄.), καὶ ἐν μὲν τῷ πρώτῳ λέγει, ὅτι μακαρία ζωή ἐστιν ἡ ἄνευ τῶν σαρκικῶν παθῶν, ἐν δὲ τῷ δευτέρῳ περιγράφει τὸν βίον τοῦ Ἰακώβ, ὡς παράδειγμα εὐδαίμονος βίου· *de Joseph patriarcha* (περὶ τοῦ πατριάρχου Ἰωσήφ)—ὡς προτύπου τῆς σωφροσύνης καὶ ἄλλων ἀρετῶν, *de Elia et jejunio* (περὶ Ἠλιοῦ καὶ νηστείας) μετ᾽ ἐπαίνων τῆς ἐγκρατείας· *de Nabuthe et pauperibus* (περὶ Ναβουθαὶ καὶ τῶν πτωχῶν) κατὰ τῆς φιλαργυρίας καὶ τῆς πρὸς τοὺς πτωχοὺς σκληρότητος ([1]). Τὰ βιβλία *de virginitate* (περὶ παρθενίας), *de hortatione ad virginitatem* (περὶ προτροπῆς εἰς τὴν παρθενίαν), ἡ ἐπιστολὴ de virginitate ([2]), καὶ τὸ βιβλίον *de viduis* (περὶ τῶν χηρῶν) περιέχουσι πᾶν ὅ,τι ἄν τις εἴποι εἰς ἔπαινον τῆς παρθενίας καὶ τῆς χηρείας, καὶ εἰς διδασκαλίαν αὐτῶν. Ἐν ταῖς ἐπιστολαῖς, ὁτὲ μὲν προὔτρεπε πρὸς μετάνοιαν([3]), ὁτὲ δὲ ἐδίδω ἔννοιαν περὶ τῆς χριστιανικῆς τελειότητος, τῆς βαθμηδὸν κτωμένης([4]), ἄλλοτε δὲ μετεδίδω συμβουλὰς ([5]), τῷ κλήρῳ, τοῖς κριταῖς ([6]), τοῖς ἐπισκόποις ([7]), καὶ τοῖς θλιβομένοις ([8]). Ἐν τῇ περὶ ἠθικῆς διδασκαλίᾳ ὁ ἱερὸς Πατὴρ παρίσταται τοιοῦτος, οἷος ἦν ἐν τῷ βίῳ. Ἐνταῦθα τό τε ὕψος καὶ ἡ σταθερότης τοῦ πνεύματος κατ᾽ ἀξίαν ἐκφράζονται. Ἐνταῦθα ὁ ἐπίσκοπος τῶν Μεδιολάνων ἐστὶ μέγας καὶ ὡς διδάσκαλος τῆς εὐσεβείας καὶ ὡς ἐκκλησιαστικὸς ῥήτωρ.

Λίαν σπουδαῖά εἰσι τὰ διὰ τὴν τελετουργίαν πονήματα

([1]) Τούτων τινὰ μεταφρασθέντα ῥωσσιστί, ἐδημοσιεύθησαν ἐν τῇ Χριστιανικῇ Ἀναγνώσει, 1838, 1839. ἔτη.—

([2]) Ep. XLV.

([3]) Ep. LXVII. LXXIX.

([4]) Ep. XXVII—XXXIII. XXXVII. XXXVIII. LXX. LXXI. LXXIII--LXXV.

([5]) Ep. LXXXI. LXIII. LXIV. LXXXIV.

([6]) Ep. XXV. XXVI.

([7]) Ep. II. V. VI. XVI. XIX. XXIII.

([8]) Ep. XXXIX. XV.

τοῦ ἁγίου Ἀμβροσίου. Ὁ Walafridus, Strabo ἢ Strabus κληθείς, ἔγραψεν ἐν τῇ ἀρχῇ τοῦ θ΄. αἰῶνος: «Ἀμβρόσιος ὁ Μεδιολάνων ἐπίσκοπος διωργάνωσε τὴν τάξιν τῆς τε λειτουργίας καὶ τῶν ἄλλων τελετῶν διὰ τὴν Ἐκκλησίαν αὐτοῦ καὶ τοὺς ἄλλους Λιγυστίνους, ἥπερ τηρεῖται καὶ μέχρι τοῦ νῦν ἐν τῇ τῶν Μεδιολάνων Ἐκκλησίᾳ»(1). Πᾶν ὅ,τι διέτασσεν ἐν τῇ τελετουργίᾳ ὁ Ἀμβρόσιος, ἔφερε τὸν τύπον τοῦ πνεύματος τῆς Ἀνατολῆς, καὶ ἐδήλου τὴν ἐπιθυμίαν αὐτοῦ προσεγγίσαι ταῖς τελεταῖς τῆς λαμπροφόρου Ἀνατολῆς (2).

Ἐν τῇ διατάξει τῆς τελετουργίας ὁ ἅγιος Ἀμβρόσιος εἰσήγαγε τάδε:

α΄.] Συνέθηκε *Lectionarium*, ἤ, ὡς λέγει ἀρχαία παράδοσις, ὥρισε τὰς ἀρχὰς καὶ τὰ τέλη τῶν ἀναγνώσεων τοῦ Εὐαγγελίου, τοῦ Ἀποστόλου καὶ τῶν Προφητῶν (3). Δι᾽ ἁπάσας τὰς ἑορτίους ἡμέρας, ἐξαιρουμένων τῶν Κυριακῶν, συνῳδὰ τῷ ἀρχαίῳ ἀνατολικῷ ἔθει, ὥρισεν ἀναγνώσεις οὐ μόνον ἐκ τοῦ Εὐαγγελίου καὶ τῶν Ἀποστόλων, ἀλλὰ καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης. Ἡ ἐξουσία τοῦ Πάπα οὐκ ἠδυνήθη ἐξαλεῖψαι τὴν σφραγῖδα τοῦ χρόνου τοῦ Ἀμβροσίου ἐν ταύτῃ τῇ διατάξει—τῆς ἰταλικῆς ἀρχαίας μεταφράσεως τῶν ἀναγνωσμάτων.

β΄.] *Librum missalium orationum et praefationum*, ἔνθα ὡσαύτως πολλὰ ἀπαντῶσιν ὅμοια τῇ ἀνατολικῇ, οὐχὶ δὲ καὶ τῇ ῥωμαϊκῇ διατάξει (4).

γ΄.] *Antiphonarium*, ὅπερ ληφθὲν ἐκ τῆς Ἀνατολῆς εἰσήχθη ὑπὸ τοῦ ἁγίου Ἀμβροσίου ἐν τῇ Δύσει. Ὁ θεῖος Πατὴρ εἰσήγαγε

---

(1) De officiis divinis, sive de exordiis et incrementis rerum ecclesiasticarum, cap. XXII.

(2) Missale ambrosianum, Mediolani 1831. Mabillonii Museum italicum, T. I. P. II. pag. 99—109. Paris. 1724.

(3) Ep. Pauli et Ceberhardii apud Mabillonium T. I. Musæ Ital. p. 96. Mitte nobis Antiphonarium cum notatis et sacramentarium cum solis orationibus et præfationibus Ambrosianis. Καὶ ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς: Nos nullum apellamus sacramentarium, nisi librnm missalium orationum absque actionibus evangelicis, apostolicis et propheticis, quarum fines et principia secundum Ambrosianam exceptionem petentibus nobis annotare pollicitus es.—

(4) *August*. Christ. Archeol. B. 4. s. 284—286. *Bona* rer. liturg. l. I. c. 10.—

τὴν ἀντίφωνον ψαλμῳδίαν, ὅτε τὸ ὀρθόδοξον αὐτοῦ ποίμνιον ἐδιώκετο ὑπὸ τῆς ἀρειανῆς Αὐτοκρατείρας Ἰουστίνης. «Τότε, λέγει ὁ ἱερὸς Αὐγουστῖνος, διετάχθη ᾄδειν ψαλμοὺς καὶ ὕμνους κατὰ τὸ ἔθος τῶν ἀνατολικῶν, ἵνα μὴ ὁ λαὸς ἐξασθενήσῃ»(1). ἤ, ὡς λέγει ὁ Παυλῖνος; « Hoc in tempore primum antiphonæ, hymni ac vigiliæ in ecclesia mediolanensi celebrati coeperunt. Cujus celebritatis devotio usque in hodiernum diem non solum in eadem Ecclesia, verum per omnes pene occidentis provincias manet » (2). —

Ὁ ἅγιος Ἀμβρόσιος ἔγραψε μουσικὰ σημεῖα καὶ Ὕμνους διὰ τὸ ἀντιφωνάριον. Ὁ Αὐγουστῖνος, ὁ Πρόσπερος καὶ Ἰσίδωρος ὁ Ἱσπάλεως(3) μαρτυροῦσιν, ὅτι οἱ ὕμνοι τοῦ ἁγίου Ἀμβροσίου ἐπὶ τῶν χρόνων αὐτῶν ἐψάλλοντο ἐν ταῖς κατὰ τὴν Δύσιν Ἐκκλησίαις. Ὁ μακάριος Αὐγουστῖνος γράφει περὶ ἑαυτοῦ, ὅτι, «κλυδωνιζόμενός ποτε ὑπὸ θλίψεως ᾖσεν ὕμνον τοῦ Ἀμβροσίου, καὶ ἡ θλίψις τῆς καρδίας ἠρέμησεν». Οὗτος ἦν ὁ ἑσπερινὸς ὕμνος τοῦ Ἀμβροσίου (4). Αὐτὸς ὁ Ἀμβρόσιος ἔγραψε: « Hymnorum quoque meorum carminibus deceptum populum ferunt. Plane nec hoc abnuo. Grande carmen istud est, et quo nihil potentius» (5). Οἱ ὕμνοι τοῦ Ἀμβροσίου ἐγράφησαν ἐμμέτρως καὶ οὕτως, ὥστε ἡ ἔννοια ἀείποτε τελευτᾷ ἐν τῷ τετάρτῳ στίχῳ· τὸ τελευταῖον αὐτὸ καθ᾽ ἑαυτὸ δείκνυσιν, ὅτι ἦσαν ὡρισμένοι διὰ τὴν ἀντίφωνον ψαλμῳδίαν.

Ἐκ τῶν γνησίων ὕμνων τοῦ ἁγίου Ἀμβροσίου ἀξιοσημείωτος ἰδίως ἐστιν ὁ: Te Deum laudamus (Σὲ τὸν Θεὸν ὑμνοῦμεν) (6). Εἰς

(1) Confes. l. IX. c. 7.

(2) Paulin. Vit. S. Ambros. c. 17.

(3) Prosper. Chron. ad an. 386. Isidor. Hispal. Offic. l. I. c. 7.

(4) Confession. l. IX. c. 12. Ἀρχὴ τοῦ ὕμνου:

Deus creator omnium
Polique rector, vestiens
Diem decoro lumine,
Noctem sopora gratia

(5) Sermo de non tradendis basilic. n. 34.

(6) Ἅπαντες οἱ ὕμνοι τοῦ ἁγίου Ἀμβροσίου εἰσὶ δώδεκα. Ἐκτὸς τῶν δύο, ὧν μνείαν ποιεῖται ὁ Αὐγουστῖνος, ἡ ἐν Ρώμῃ σύνοδος (τῷ 430) ποιεῖται λόγον περὶ τοῦ ὕμνου: Veni Redemptor gentium. Οὗτός ἐστι ὕμνος εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ. Δύο ἄλλων μνείαν ποιεῖται

μάτην λέγουσί τινες, ὅτι οὐκ ἔστιν ἔργον τοῦ Ἀμβροσίου, παρασυρόμενοι ὑπὸ ἀμαθῶν τινων ἀντιγραφέων [1]. Τὴν σύνταξιν αὐτοῦ ἀνενεκτέον εἰς ἐκεῖνον τὸν χρόνον, καθ' ὃν κατενικήθη ὁ ἀρειανισμός, δηλ. εἰς τὸ 386· τῷ δὲ 388, ὅτε ἐβαπτίσθη ὁ Αὐγουστῖνος ὑπὸ τοῦ ἁγίου Ἀμβροσίου, ἦσαν αὐτὸν ὅ τε βαπτίσας καὶ ὁ βαπτισθείς [2]. Ἀπὸ τοῦ πέμπτου αἰῶνος ὁρῶμεν ἤδη γενικὴν τὴν χρῆσιν αὐτοῦ κατὰ τὴν Δύσιν, καὶ ἰδίως κατὰ τὰς στέψεις τῶν βασιλέων καὶ κατὰ τὰς συνόδους [3]. Ἀλλ' ὅ,τι μέχρι τοῦ δεῦρο ἔλαθε τὴν προσοχὴν πάντων καὶ σύναμα ἀποδείκνυσι τὴν γνησιότητα αὐτοῦ, ἐστι τὸ ἑξῆς. Λίαν ὅμοιος τῷ ὕμνῳ τούτῳ εὑρίσκεται ἐν τοῖς ὕμνοις τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. Οὗτός ἐστιν ὁ ὕμνος εἰς τὸν Τρισυπόστατον:



» Σὲ τὸν ἄφθιτον μονάρχην
» Δὸς ἀνυμνεῖν, δὸς ἀείδειν,
» Τὸν Ἄνακτα, τὸν Δεσπότην,
» Δι' ὃν ὕμνος, δι' ὃν αἶνος,
» Δι' ὃν ἀγγέλων χορεία,
» Δι' ὃν αἰῶνες ἄπαυστοι,
» Δι' ὃν Ἥλιος προλάμπει, κ.τ.λ.

ὁ Κασσιόδωρος (in Psalm. VIII.—in Psalm. LXXI. v. 6.—in Psalm. I. v. 1.). Ἑπτὰ ἄλλους κατὰ ἀρχαῖα χειρόγραφα εὗρεν ὁ Καρδινάλιος Τομασσῖνος (Op. T. VIII). Οἱ ἄλλοι, οἱ γνωστοὶ ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἀμβροσίου οὐκ ἀνήκουσιν εἰς αὐτόν.—

(1) Ἔν τισι λατινικοῖς χειρογράφοις ὁ ὕμνος οὗτος ἐπιγράφεται τῷ ὀνόματι Abundini, ἢ S. Sicenii, ἢ Sisebuti, ἢ Sisebuli. Ἀλλ' αὐτὴ ἡ διαφορὰ τῆς ἐπιγραφῆς καὶ τὸ ἐσφαλμένον αὐτῆς δεικνῦσι τὴν ἀμάθειαν τῶν ἀντιγραφέων.

(2) Περὶ τοῦ τελευταίου ἴδ. Chronic. Dacii, ἢ ὀρθότερον Landulfii, ὡσαύτως Vit. S. August., incerti auctoris, 1833, Killiæ p. 35—38. καὶ Psalter. Carol. M. (ἴδ. σελ. 334. σημ. 3).

(3) Ὁ ἅγιος Βενέδικτος καὶ Καισάριος ὁ Ἀρελάτου (ἐν τῷ Ε΄. αἰῶνι) ἤδη διέτασσον ᾄδειν τὸν ὕμνον τοῦτον (Bened. reg. c. XI.). Τὸ αὐτὸ ἐν τῷ Ἀντιφωναρίῳ Γρηγορίου τοῦ Διαλόγου. Ὁ Ἀλκουῖνος, τὸ Ψαλτήριον Καρόλου τοῦ μ., τὸ μαβειλόνειον χειρόγραφον τοῦ θ΄. αἰῶνος, καὶ ὁ Σμάραγδος (Comment. in regulam S. Benedicti) λέγουσι περὶ

Ἅπας ὁ ὕμνος οὗτος ἐνιαχοῦ μὲν κατὰ τὴν λέξιν, κατὰ δὲ τὴν ὑπόθεσιν ἐν γένει ἐστὶν ὅμοιος τῷ τοῦ Ἀμβροσίου. Καὶ ἐπειδὴ ἤδη γινώσκομεν, ὅτι ὁ Ἀμβρόσιος μᾶλλον πάντων τῶν ἄλλων διδασκάλων τῆς Δύσεως μετήνεγκε τὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας εἰς τὴν τῆς Δύσεως, καὶ δὴ λίαν πολλὰ τῶν ἀνατολικῶν συγγραμμάτων παρενέβαλλε τοῖς ἑαυτοῦ, οὐδεμία ἀμφιβολία, ὅτι ὁ ὕμνος Te Deum laudamus ἀνήκει εἰς τὸν ἅγιον Ἀμβρόσιον.—

§. 162. Βίος Μακαρίου τοῦ μεγάλου καὶ συγγράμματα αὐτοῦ.

Ἁπάσῃ τῇ Ἐκκλησίᾳ, οὐχὶ δὲ μόνῃ τῇ ἐρήμῳ, ἦν καὶ ἐστι μέγας ὁ ἅγιος Μακάριος ὁ Αἰγύπτιος, ὁ πατὴρ τῆς ἐρήμου. Σύγχρονος Μακαρίῳ τῷ Ἀλεξανδρεῖ, τῷ ἐπικαλουμένῳ Πολιτικῷ (¹), αὐτὸν πρεσβύτερον τῆς Ἀλεξανδρείας. Ἐπὶ δὲ τοῦ ἁγίου Ἀθανασίου κατὰ τὴν ἐν Τύρῳ σύνοδον ἀπαντῶμεν Μακάριον τὸν Ἀλεξανδρέα (Σωκρ. α΄. 24. Σωζόμ. β΄. 22). Ἡγησάμενος Μακάριος τοίνυν ὁ Πολιτικὸς τοῦ ἀλεξανδρινοῦ Διδασκαλείου ἀπὸ τοῦ 330 μέχρι τοῦ 340, μετέβη κατὰ τὸ τελευταῖον ἔτος εἰς τὴν ἔρημον τῆς Νιτρίας, ἔνθα διῆγε βίον αὐστηρὸν καὶ ἐκοσμήθη τῷ χαρίσματι τῶν θαυμάτων. Ὑπὸ τὸ ὄνομα αὐτοῦ εἰσι γνωστὰ μέχρι τοῦ νῦν τάδε τὰ συγγράμματα: α΄.] μοναστικὸς κανὼν (Regula monastica) ἐν τριάκοντα κεφαλ. λατινιστί· β΄.] ἐπιστολὴ πρὸς τοὺς μοναχούς· γ΄.] Λόγος περὶ ἐξόδου ψυχῆς δικαίων καὶ ἁμαρτωλῶν, τὸ πῶς χωρίζονται ἐκ τοῦ σώματος καὶ πῶς εἰσι. Τὰ δύο πρῶτα in

ὅτι ὁ ὕμνος, ἀνήκει εἰς τὸν ἅγιον Ἀμβρόσιον. Ἐν τῷ ψαλτηρίῳ τοῦ Καρόλου ἡ ἐπ' αὐτοῦ ἐπιγραφὴ ἔχει ὧδε: Hymnus, quem S. Ambrosius et S. Augustinus invicem condiderunt. *Weiss* le ben d. Wâter und Märtyrer Th. XII. S. 156. *Binterim* Denkwür digk. der Kirche. B. 4. Th. I. S. 404.

(¹) Μακάριος ὁ Ἀλεξανδρεὺς ἐκαλεῖτο Πολιτικός, ἅ τε γεννηθεὶς ἐν τῇ πόλει Ἀλεξανδρείᾳ (Σωζόμ. γ΄. 14)· ἐπέζησε τρία ἔτη μετὰ τὸν θάνατον Μακαρίου τοῦ Αἰγυπτίου (Παλλάδ. Λαυσ. κεφ. 19). Φίλιππος ὁ Σιδήτης λέγει, ὅτι Μακάριος ὁ Ἀλεξανδρεὺς ἐγένετο διδάσκαλος τοῦ ἀλεξανδρινοῦ Διδασκαλείου, καὶ τοῦτο ἐπικυροῦται ἐκ τῶν τοῦ Σωκράτους (δ΄. 23) καὶ τοῦ Σωζομένου ὁμιλούντων περὶ τῆς παιδείας αὐτοῦ. Ὁ Ἡρακλείδης (Παράδ. κεφ. 3) καλεῖ

ἀλλὰ κατά τι πρεσβύτερός αὐτοῦ, ἐκ νεαρᾶς ἔτι ἡλικίας κατέλιπε τὸν κόσμον, καὶ κατῴκησε πλησίον κώμης τινὸς ἐν κελλίῳ· ἐξελέξαντο αὐτὸν ἔπειτα ἀναγνώστην ἔν τινι Ἐκκλησίᾳ, ἀλλ᾽ ἔφυγεν εἰς ἕτερον τόπον, ἔνθα ἐσυκοφάντησεν αὐτὸν εἰς ἁμαρτίαν πεσοῦσα παρθένος· ὁ Ἐρημίτης ἐδέξατο τὴν συκοφαντίαν· ἡ δὲ ἁμαρτωλὸς ἐν δεινοῖς πάθεσιν αἴφνης περιπεσοῦσα, ἠναγκάσθη ὁμολογῆσαι τὴν ἀθωότητα τοῦ Μακαρίου, ὅστις, ἀποφεύγων τὴν ἀνθρωπίνην δόξαν, ἀνεχώρησεν (1) εἰς τὴν ἔρημον τῆς Σκήτεως (2), ὁπόθεν ἐπεσκέπτετο τὸν ἅγιον Ἀντώνιον (3). Τὸ τεσσαρακοστὸν ἔτος τῆς ἡλικίας αὐτοῦ προὐχειρίσθη εἰς πρεσβύτερον, καὶ τότε ἔλαβε τὸ χάρισμα τοῦ θαυματουργεῖν καὶ προφητεύειν. Πολλαπλασιασθέντος δὲ τοῦ ἀριθμοῦ τῶν μαθητῶν αὐτοῦ, ᾠκοδόμησε τέσσαρας ναούς, αὐτὸς δὲ διέτριβεν μεθ᾽ ἑνὸς τῶν μαθητῶν αὐτοῦ (4). Οἱ ἀγῶνες τοῦ Μακαρίου καὶ κατὰ τὰ πρῶτα ἔτη τῆς ἐρημικῆς αὐτοῦ ζωῆς ἦσαν μεγάλοι, ἐφ᾽ οἷς ἐκάλουν αὐτὸν ἤδη τότε Π α ι δ α ρ ι ο γ έ ρ ο ν τ α (5)· ἀλλὰ κατ᾽ ἐξοχὴν ἡ σιωπὴ (6) καὶ ἡ πρᾳότης τῆς καρδίας (7) διέκρινον καὶ ὕψουν τὸ πνεῦμα τοῦ μεγάλου Ἐρημίτου. Διωχθέντος ἐξ Ἀλεξανδρείας ὑπὸ τῶν Ἀρειανῶν τοῦ

Benedictini Anianensis codice regularum (Patr. Lat. T. CIII). Τὸ τελευταῖον ἐγράφη ὑπὸ Ἀ λ ε ξ ά ν δ ρ ο υ τ ο ῦ ἀ σ κ η τ ο ῦ, μαθητοῦ τοῦ ἁγ. Μακαρίου· Τρίτος Μακάριος, Μ α κ ά ρ ι ο ς ὁ Π ί σ π ι ρ ἦν ἀρχαιότερος τοῦ Αἰγυπτίου καὶ τοῦ Ἀλεξανδρέως· οὗτος ἐμερίμνησε περὶ τοῦ ἁγίου Ἀντωνίου, ὅτε ἔκειτο ἐπὶ τῆς νεκρικῆς κλίνης.—

(1) Coteler Monum. gr. Eccles. T. I. pag. 526.

(2) Ἡ ἔρημος τῆς Σκήτεώς ἐστι μέρος τῆς Νιτρίας, τῆς νῦν καλουμένης κοιλάδος Ν α τ ρ ώ β· *Ritter* Erdkünde, Berolini 1822.—

(3) Hieron. de Vita Pauli eremitæ. Σωζόμ. γ΄. 14. Rufin. II. 8.

(4) Παλλάδ. Λαυσ. κεφ. 19. Σωζόμ. γ΄. 14.—

(5) Παλλάδ. αὐτόθ. Σωζόμ. αὐτόθ.—

(6) «Ἀρκεῖ, ἔλεγεν, εἰ εἴσεσθε ἐπαναλαμβάνοντες ἐξ ὅλης καρδίας: Κύριε ἐλέησόν με, ὡς οἶδας καὶ βούλει, ἐλέησόν με». Rosweidi 3, 3. 5, 4. Περὶ τῆς διαγωγῆς αὐτοῦ πρός τινα ἐθνικὸν ἱερέα ἴδ. Rosw. I. 3. c. 127. Coteler. I. pag. 547. Περὶ τῆς ἐγκρατείας καὶ τῆς διαγωγῆς αὐτοῦ ἐπισκεπτομένου τοὺς ἀδελφοὺς ἴδ. Σωκρ. δ΄. 23. Rosw. lib. 3. c. 3. lib. 5. c. 4. §. 26.—

(7) Coteler. T. I. pag. 534.

ἀρχιεπισκόπου Πέτρου, τοῦ διαδεξαμένου τὸν μέγαν Ἀθανάσιον, ὁ ὑπ' αὐτῶν κατασταθεὶς Λούκιος ἀπέστειλε σῶμα στρατιωτῶν εἰς τὴν ἔρημον, ἵνα βίᾳ καὶ βασάνοις ἀναγκάσωσι τοὺς ἐρημίτας εἰς τὸν ἀρειανισμόν. Ἐκ τούτων πολλοὶ ἀνεδήσαντο τὸν στέφανον τοῦ μαρτυρίου, ὁ δὲ μέγας Μακάριος μετ' ἄλλων τινῶν ἐξωρίσθη εἴς τινα τῶν νήσων τῆς Αἰγύπτου· ἀλλ' ἐνταῦθα ἡ νῆσος τῶν ἐθνικῶν ἐγένετο ταχέως νῆσος τῶν χριστιανῶν (1). Ἐπανελθὼν δὲ εἰς τὴν ἔρημον τῆς Σκήτεως ὁ προφήτης καὶ θαυματουργὸς (2) ἀνεπαύθη ἐν Κυρίῳ τῷ 390, ἄγων τὸ 90ον ἔτος τῆς ἡλικίας αὐτοῦ καὶ ζήσας ἐν ἐρήμῳ 60 ἔτη (3).

Ὁ Γεννάδιος γράφει: «Μακάριος, ὁ μοναχὸς ἐκεῖνος ὁ Αἰγύπτιος, ὁ σημείοις καὶ ἀρεταῖς ἔνδοξος, μίαν μόνην πρὸς τοὺς νεωτέρους μοναχοὺς ἔγραψεν ἐπιστολήν, ἐν ᾗ διδάσκει ἐκεῖνον τελείως δύνασθαι λατρεύειν τῷ Θεῷ, ὅς, γιγνώσκων ἑαυτόν, ἑκουσίως φέρει πάντα πόνον, ἀγωνίζεται γενναίως πρὸς τὰ πάθη, ἵνα μὴ ἀποβάλῃ τὴν δοθεῖσαν αὐτῷ χάριν, καί, τέλος, διαφυλάττων ἑαυτὸν ἐν καθαρότητι, ἀφικνεῖται πρὸς τὴν τῆς ψυχῆς καθαρότητα» (4). Ἡ ἐπιστολὴ αὕτη ἦν γνωστὴ καὶ τῷ ἁγίῳ Ἰσαὰκ τῷ Σύρῳ (5), ἀλλὰ μέχρι τοῦ νῦν μένει ἀνέκδοτος ἐν χειρογράφοις (6).

Ὡς πολύτιμος κληρονομία τῆς μεγάλης σοφίας τοῦ ἁγίου Μακαρίου, σώζονται μέχρις ἡμῶν πεντήκοντα ὁμιλίαι, ἑπτὰ ἀσκη-

(1) Θεοδώρ. ἐκκλ. ἱστορ. δ'. 18, 19. Σωκρ. δ'. 2. Σωζόμ. ς'. 19, 26. Παλλάδ. ἐν τῷ ριζ'. κεφ. τοῦ Λαυσ. ἑτέραν ἀπόδειξιν τοῦ ζήλου αὐτοῦ πρὸς τὴν πίστιν περὶ τῶν Ἱερακιτῶν ἴδ. Rosw. l. 3. c. 99.

(2) Περὶ τοῦ χαρίσματος τοῦ προφητεύειν καὶ θαυματουργεῖν ἴδ. Σωκρ. δ'. 23. Παλλάδ. λαυσαϊκ. κεφ. 19.

(3) Παλλάδ. αὐτόθ.—

(4) De Scriptor ecclesiast. c. X.

(5) Λόγ. μθ'. «περὶ τῆς ἀληθοῦς γνώσεως καὶ τῶν πειρασμῶν» σελ. 295. ἐν Λειψίᾳ 1770, ἔκδ. Νικηφ. τοῦ Θεοτόκη.

(6) Ἐν πολλοῖς ἑλληνικοῖς χειρογράφοις μνημονευθεῖσιν ὑπὸ τοῦ Gottl. Christoph. Harles (Fabric. Bibl græca, Vol. VIII. p 363)· ἐν τῇ ἀραβ. μεταφρ. ἐστὶν ἐν χειρογρ. τοῦ 788 καὶ 885 ἔτ. ἐν τῇ συριακῇ ἐν χειρογρ. τοῦ 769 καὶ τοῦ ιγ'. αἰῶνος, ἴδ. Maii collect. vet. auct. t. IV. pag. 145, 599. t. V. pag. 46. Assemani Bibl. or. T. III. P. I. p. 44.—

τικοὶ λόγοι, καὶ δύο ἐπιστολαί. Τὰ συγγράμματα ταῦτα κατὰ πάντα τὰ ἑλληνικὰ ἀπόγραφα, καὶ τὰς συριακὰς καὶ ἀραβικὰς μεταφράσεις ἀποδίδονται εἰς τὸν ἅγιον Μακάριον τὸν Αἰγύπτιον[1]. Ματαίως οὖν τινὲς (οἷον ὁ Κεϊλλιέρος καὶ ὁ Οὐδῖνος) καταβιβάζουσι τὸν συγγραφέα τῶν ὁμιλιῶν εἰς τὴν ἐποχὴν τῶν πελαγιανῶν ἐρίδων. Αἱ ὑποθέσεις, περὶ ὧν ὁμιλεῖ ὁ Ἀββᾶς τοῖς ἑαυτοῦ μαθηταῖς, εἰσι

(1) Sancti Patris Macarii Aegyptii Homiliæ atque opuscula ed. a Georg Pritio, Lipsiæ 1699, 1714. S. Macarii Aegyptii epistolæ et quedam alia cum curis criticis H. *Floss*, Coloniæ 1850. Ἑλληνιστὶ ἐξεδόθησαν 50 ὁμιλίαι. Ἐν δὲ τῷ ἀραβ. βατικαν. χειρογρ. τοῦ 1055 ὑπάρχουσιν 26 ὁμιλίαι τοῦ ἁγίου Μακαρίου τοῦ Αἰγυπτίου. Ἐν τῷ ἀπογράφῳ τούτῳ ἀναγινώσκονται αἱ ἑπόμεναι ἑλληνικαὶ ὁμιλίαι: 1—5, 7, 8, 10—12, 15, 18, 19, 47. Αἱ ἄλλαι 11 ὁμιλίαι αἱ ὑπάρχουσαι ἐν τῇ ἀραβ. μεταφράσει οὐχ εὕρηνται ἐν ταῖς ἐκδεδομέναις ἑλληνικαῖς. Ἀλλ' ὡς ἐν τῇ συρ. εἰσὶ καὶ ἐκεῖναι, αἵτινες εἰσὶν ἐν τῇ ἀραβικῇ, οὕτω καὶ ἐν τῷ ἑλληνικῷ χειρογρ. ὑπάρχουσιν ἔτι ἑπτὰ ὁμιλίαι ἀνέκδοτοι. Maii collect. vet. auct. t. IV. p. 191, 192. 1833. Romæ. Harles apud Fabric. B. Gr. Vol. VIII. p. 362—363. Asseman. B. O T. 3. P. 1. p. 44. 327. Ὁ *Floss* λέγει: «homilias, quales hucusque editæ sunt, miserrime depravatas ac mutilatas esse». Κατὰ τοῦτο δυνατὸν συμφωνῆσαι αὐτῷ, ἀλλ' ἐν πολλοῖς ἄλλοις τὰ χειρόγραφά εἰσι κατ' αὐτοῦ. Τὴν ὁμιλίαν περὶ τοῦ παραδείσου, καὶ νόμου πνευματικοῦ ἡγήσαντο ὁμιλίαν Μάρκου τοῦ Ἐρημίτου. Ἀληθὲς ἔτι, ὅτι ὁ Φώτιος ἀναθεωρῶν τὰ χειρόγραφα, εἶδε πρῶτον ἐν τοῖς συγγράμμασι τοῦ ὁσίου Μάρκου τὴν ὁμιλίαν περὶ τοῦ παραδείσου, καὶ νόμου πνευματικοῦ, ἀλλὰ ά.] ἐστὶ διαφορὰ μεταξὺ τῆς ὁμιλίας τοῦ Μακαρίου καὶ τῶν κεφαλαίων τοῦ Μάρκου· β'.] φαίνεται ὅτι, ὁ Μάρκος, ὡς ἀκουστὴς γενόμενος τοῦ Μακαρίου, ἔλαβεν, ὡς ὁδηγὸν δι' ἑαυτὸν καὶ τοὺς ἄλλους, τὴν ὁμιλίαν τοῦ Αἰγυπτίου Πατρός, ἔπειτα δὲ ἡ ὁμιλία αὕτη συνήφθη πρὸς τὰ συγγράμ. τοῦ Μάρκου ἀλλ' οὐχὶ καὶ ὡς ἴδιον αὐτοῦ σύγγραμμα. Τὸ τελευταῖον μέρος τῆς κέ. ὁμιλίας (§. 4.) ἐλήφθη ἐκ τῆς τοῦ μεγάλου Βασιλείου περὶ τοῦ αὐτεξουσίου, ἣν ὁ Γαρνιέρος οὐ παραδέχεται ὡς συγγράμματα τοῦ μεγάλου Βασιλείου, ἀλλ' ἄνευ λόγου (ἴδ. *Reiuwald* Homiliarum Patrist. 1829. fasc. 2. p. 192—195). Οἱ ἑπτὰ ἀσκητικοὶ λόγοι, ἐγράφησαν ἐν εἴδει ἐπιστολῶν, διότι ὁ Γλυκᾶς ἐν τῷ χρονικῷ αὐτοῦ (Script. Byzentin.) ἀναφέρει χωρία

τοιαῦται, οἷαι καθ' ἑκάστην παρίστανται τῇ προσοχῇ τῶν ἀνθρώπων, τῶν περὶ πλείστου ποιουμένων τὸ δυσχερὲς ἔργον τῆς σωτηρίας τῆς ἑαυτῶν ψυχῆς. Τὸ περὶ χάριτος καὶ ἐλευθερίας ζήτημα λύει ὁ 'Αββᾶς ἁπλῶς, ἐπιτάσσων τὸ προσεύχεσθαι καὶ ἐργάζεσθαι. Εἰ ἐξεπληροῦμεν ἐξ ὅλης τῆς ψυχῆς τὴν ἁπλῆν καὶ ἁγίαν ἐντολὴν τοῦ 'Αββᾶ, οὐκ ἂν ἦν ταῖς ἔρισι τῆς ἀργίας οὔτε τόπος, οὔτε χρόνος. Ἡ δὲ ὑπόθεσις τῶν ὁμιλιῶν δείκνυσι τὴν μεγάλην αὐτῶν ἀρχαιότητα. Ὁ διδάσκαλος ἐν τῇ κζ'. ὁμιλίᾳ παρίσταται σύγχρονος τοῖς Ὁμολογηταῖς. Εἶχεν ὑπ' ὄψει τοὺς αἱρετικούς, τοὺς λέγοντας, ὅτι «ἡ ὕλη οὐκ ἔχει ἀρχήν, καί ἐστι ῥίζα, ἡ δὲ ῥίζα ἐστὶ δύναμις, ἡ δὲ δύναμις ἴση τῇ τοῦ Θεοῦ» (¹). Τοιοῦτοι δ' ἄνθρωποι ἦσαν λίαν γνωστοὶ πρὸ τοῦ τετάρτου αἰῶνος καὶ ἐν τῷ τετάρτῳ. Σημειωτέον ἔτι, ὅτι, ὥσπερ νῦν τινὲς σκανδαλίζονται ἐκ τοῦ περιεχομένου τῶν ὁμιλιῶν τοῦ Μακαρίου, καὶ ἐκ τούτου οὐ βούλονται παραδέξασθαι αὐτάς, ὡς ἔργον αὐτοῦ, οὕτω καὶ ἐπὶ τοῦ ἁγίου 'Ισαὰκ τοῦ Σύρου ἐσκανδάλιζέ τινας ἡ ἐπιστολὴ αὐτοῦ, ἀλλ' ὅμως οὐκ ἠρνοῦντο τὸ γνήσιον αὐτῆς. 'Αλλ' εἰ τότε μόνη ἡ ἀπειρία ἐν τοῖς πνευματικοῖς ζητήμασιν ἐσκανδαλίζετο, ὁ δὲ ἅγ. 'Ισαάκ, διασαφήσας τὴν ὑπόθεσιν τῆς ἐπιστολῆς εἰς τοὺς ἀπείρους περὶ τὰ πνευματικά, ἐκάλεσε συγγραφέα αὐτῆς τὸν ἅγιον Μακάριον (²), οὐ προσήκει εἰπεῖν ταυτὸ καὶ περὶ τῶν σκανδαλιζομένων νῦν ὑπὸ τῆς ὑποθέσεως τῶν ὁμιλιῶν αὐτοῦ; Ἐν τούτοις εἰς ἀπόδειξιν τῆς τε σπουδαιότητος καὶ γνησιότητος τῶν ὁμιλιῶν ἀναφέρομεν ἔτι τὴν κρίσιν 'Ιωάννου τοῦ 'Αντιοχείας Πατριάρχου, ἀκμάσαντος κατὰ τὸν ια'. αἰῶνα, ὅστις ἀπαριθμῶν τὰ ψυχοσωτήρια συγγράμματα τῶν Ποιμένων τῆς 'Εκκλησίας καὶ τῶν Πατέρων τῆς ἐρήμου, τὰ ἐγκριθέντα ὑπὸ τῆς 'Εκκλησίας πρὸς γενικὴν χρῆσιν, κατατάσσει ἐν τούτοις τὸ βιβλίον τοῦ ἁγίου Μακαρίου, καὶ αὐτὸν κατατάσσει μεταξὺ τῶν ἀσκητῶν τῆς

ἐκ τῶν ἐπιστολῶν τοῦ μεγάλου Μακαρίου, ἃ ἀναγινώσκονται ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ τετάρτου λόγου. Harles ap. Biblioth. Fabric. l. cit. Ἐν τῇ ἀραβ. καὶ συρ. μεταφρ. ἐπ' ἴσης οὐδεμία ἀπαντᾷ ἐπιστολὴ τοῦ Μ. Μακαρίου.

(¹) Ὁμιλ. ις'. σελ. 241. Πρβλ. ὁμιλ. μς'. σελ. 525.

(²) Ἰσαὰκ ὁ Σύρ. ἐν λόγ. μθ'.

ἐν Αἰγύπτῳ ἐρήμου Σκήτεως, δηλ. αὐτῆς ἐκείνης, ἔνθα ὁ ἅγιος Μακάριος τὴν ἄκραν φιλοσοφίαν συνέλεγε (1).

§. 163. Διδασκαλία τοῦ μεγάλου Μακαρίου.

Ὑπόθεσις τῶν ὁμιλιῶν καὶ τῶν ἀσκητικῶν λόγων τοῦ ἁγίου Μακαρίου ἐστὶν ὁ ἐσωτερικὸς πνευματικὸς βίος καὶ κατ᾽ ἐξοχὴν ἐν ἐκείνῃ αὐτοῦ τῇ μορφῇ, καθ᾽ ἣν τελειοῦται κατὰ τὴν ὁδὸν τῆς θεωρητικῆς ἀπομονώσεως. Καίπερ τῆς ὑποθέσεως οὔσης βαθείας καὶ δυσνοήτου, αἱ ὁμιλίαι καὶ οἱ ἀσκητικοὶ λόγοι τοῦ ἐμπείρου διδασκάλου εἰσὶ σαφεῖς καὶ εὐκρινεῖς. Τὸ πνευματικόν, ὅπερ ἄγνωστον πολλοῖς ἐξ ἡμῶν, ἐν τοῖς χείλεσι τοῦ πνευματοφόρου Μακαρίου ἐστὶν ἐγγὺς τῇ τε καρδίᾳ καὶ τῷ νῷ. Ὅ,τι ἂν φαίνηται σκοτεινὸν διὰ τὸ πνευματικὸν ὕψος, παρὰ τῷ Μακαρίῳ γίνεται καταληπτὸν διὰ τῶν παραβολῶν καὶ τῶν εἰκόνων, αἵτινες ἀείποτέ εἰσιν ἁπλαῖ καὶ πάνυ θαυμασταί. Αἱ ἔννοιαι αὐτοῦ ἐν ταύτῃ ἢ ἐκείνῃ τῇ ὁμιλίᾳ οὐ τάσσονται κατὰ τὸν νόμον τῆς λογικῆς τάξεως, ἀλλ᾽ ἕπονται τῇ φυσικῇ πορείᾳ τοῦ ἀκραιφνοῦς αἰσθήματος. Πολλάκις ἡ σειρὰ τῶν ἐννοιῶν διακόπτεται ὑπὸ ἐρωτήσεων, αἵτινες, ὡς πιθανόν, προὐβάλλοντο ὑπὸ τῶν μαθητῶν, ἢ κατὰ τὸν χρόνον αὐτῶν τῶν ὁμιλιῶν, ἢ καὶ πρότερον. Ἐντεῦθεν, ἵνα κατά τι προσεγγίσωμεν τῷ θεοφωτίστῳ πνεύματι τοῦ Μακαρίου, οὐ χρὴ ἐξετάζειν κατὰ τάξιν τὴν ὑπόθεσιν ἑκάστης ὁμιλίας καὶ διδασκαλίας, ἀλλ᾽ ἐκεῖνο παρατηρητέον, ὅπερ πρὸ πάντων ἐπλήρου τὴν ψυχὴν τοῦ Μακαρίου καὶ δέον πληροῦν καὶ τὴν ψυχὴν ἑκάστου.

1.] Ὁ ἅγιος Μακάριος τιθεὶς ὡς βάσιν τῶν ἠθικῶν ἀγώνων τὴν περὶ τῆς διαφθορᾶς τῆς φύσεως ἔννοιαν, περιγράφει αὐτὴν ὧδε: «Ὥσπερ ὁ Ἀδὰμ παραβάς, ζύμην κακίας παθῶν ὑπεδέξατο εἰς ἑαυτόν, καὶ οὕτω κατὰ μετοχὴν οἱ ἐξ αὐτοῦ γεννηθέντες, καὶ πᾶν τὸ γένος Ἀδὰμ ἐκείνης τῆς ζύμης μετέσχε»(2). «Οὕτω τὴν ψυχὴν καὶ ὅλην τὴν ὑπόστα-

(1) Ἴδ. τὸ σύγγραμμα αὐτοῦ περὶ μοναστηρίων ἐκδ. ὑπὸ Κοτελερίου. Monum. Gr. Eccles. T. I. p. 159. Πρὸ τοῦ Ἰωάννου Συμεὼν ὁ Μεταφρ. ἐξήνεγκεν ἐν συνόψει τοὺς ἀσκητικοὺς λόγους τοῦ ἁγίου Μακαρίου τοῦ Αἰγυπτίου.—

(2) Ὁμιλ. κδ΄, edit. Migne Tom. 34. p. 664.

σιν αὐτῆς ἐνέδυσε τὴν ἁμαρτίαν ὁ ἄρχων ὁ πονηρός, καὶ ὅλην ἐμίανε, καὶ ὅλην ᾐχμαλώτευσεν εἰς τὴν βασιλείαν αὐτοῦ, καὶ οὐκ ἀφῆκεν οὔτε ἓν μέλος αὐτῆς ἐλεύθερον ἀπ᾽ αὐτοῦ, οὐ λογισμούς, οὐ νοῦν, οὐ σῶμα, ἀλλ᾽ ἐνέδυσεν αὐτὴν πορφυρίδα τοῦ σκότους » (1).

2.] Ἐν τούτοις ὁ ἄνθρωπος οὐχ οὕτως διεφθάρη, ὥστε μὴ εἶναι ἐν αὐτῷ ἀγαθόν τι. « Εἰ θέλει τις, ὑποτάσσεται τῷ Θεῷ, καὶ διοδεύει τὴν ὁδὸν τῆς δικαιοσύνης, καὶ κρατεῖ τῶν ἐπιθυμιῶν. Ὁ γὰρ νοῦς οὗτος ἀντίπαλός ἐστιν, ἐπικρατεῖν δυνάμενος ἐρρωμένῳ λογισμῷ τὰς τῆς κακίας ὁρμὰς καὶ ἐπιθυμίας αἰσχράς » (2). Τὴν κατάστασιν τοῦ φυσικοῦ ἀνθρώπου παραβάλλει ἐξαιρέτως πρὸς τὴν τοῦ βρέφους: « Καὶ οὐχ ὥς τινές φασιν κακοδιδασκαλίαις ὑπαγόμενοι, ὅτι καθάπαξ ἀπέθανεν ὁ ἄνθρωπος, καὶ ὅλως οὐ δύναταί τι ἀγαθὸν διαπράξασθαι. Καὶ γὰρ τὸ βρέφος κἂν μηδὲν ἰσχύῃ διαπράττεσθαι, ἢ τοῖς ἰδίοις ποσὶν ἐλθεῖν πρὸς τὴν μητέρα ἀδυνατῇ, ὅμως κυλίεται, καὶ βοᾷ, καὶ κλαίει ἐπιζητοῦν τὴν μητέρα. Καὶ ἐν τούτῳ σπλαγχνίζεται ἡ μήτηρ, καὶ χαίρει ἐπιζητοῦντος αὐτὴν τοῦ νηπίου ἐν πόνῳ καὶ κραυγῇ, καὶ ἀδυνατοῦντος τοῦ βρέφους ἐλθεῖν πρὸς αὐτήν, ὅμως διὰ τὴν πολλὴν τοῦ παιδίου ζήτησιν, αὐτὴ ἡ μήτηρ ἀπέρχεται πρὸς αὐτό, ὑπὸ τῆς περὶ τὸ βρέφος ἀγάπης αἰχμαλωτιζομένη, καὶ ἀναλαμβάνει καὶ περιθάλπει, καὶ τροφοφορεῖ ἐν πολλῇ στοργῇ. Τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς ποιεῖ ἐπὶ τῇ προσερχομένῃ καὶ αὐτὸν ἐπιποθούσῃ ψυχῇ » (3).

3.] Ἐν τῇ ἀταξίᾳ τῆς ἀνθρωπίνης φύσεως τέλεον ἀναγκαία ἡ τῆς χάριτος βοήθεια διὰ τὴν πρὸς τὸν οὐρανὸν ὁδόν. Αὐτὸς καθ᾽ ἑαυτὸν ὁ ἄνθρωπος οὐ δύναται ἰάσασθαι ἑαυτόν. « Ἀδύνατον οὖν ἐστι χωρίσαι τὴν ψυχὴν ἀπὸ τῆς ἁμαρτίας, ἐὰν μὴ ὁ Θεὸς παύσῃ καὶ στήσῃ τὸν πονηρὸν τοῦτον ἄνεμον, τὸν ἐνοικοῦντα τῇ ψυχῇ καὶ τῷ σώματι. . . . . Παρακαλέσωμεν οὖν τὸν Θεόν, ἵνα δῷ ἡμῖν πτέρυγας περιστερᾶς τοῦ ἁγίου Πνεύματος, ἵνα πετασθῶμεν πρὸς αὐτὸν καὶ καταπαύσωμεν, καὶ ἵνα διαχωρίσῃ καὶ παύσῃ ἀπὸ τῆς ψυχῆς

(1) Ὁμιλ. β΄. σελ. 464. πρβλ. ὁμιλ. ἑ. καὶ λόγ. περὶ ὑπομονῆς καὶ διακρίσεως.

(2) Ὁμιλ. ιέ. σελ. 592. ις΄. πρβλ. τὸν λόγον περὶ φυλακῆς καρδίας.

(3) Ὁμιλ. μς΄, σελ. 793.

καὶ τοῦ σώματος ἡμῶν τὸν πονηρὸν ἄνεμον, αὐτὴν τὴν ἁμαρτίαν τὴν κατοικοῦσαν ἐν τοῖς μέλεσι τῆς ψυχῆς καὶ τοῦ σώματος ἡμῶν» (1). « . . . Πᾶσα ψυχὴ ἡ μὴ ἡλισμένη τῷ ἁγίῳ Πνεύματι, καὶ μὴ μετέχουσα τοῦ ἅλατος τοῦ ἐπουρανίου, τουτέστι τῆς δυνάμεως τοῦ Θεοῦ, σέσηπται, καὶ δυσωδίας πολλῆς λογισμῶν πονηρῶν ἐμπέπλησται, ὥστε ἀποστρέφεσθαι τὸ πρόσωπον τοῦ Θεοῦ ἀπὸ τῆς δεινῆς δυσωδίας τῶν ματαίων λογισμῶν τοῦ σκότους, καὶ τῶν παθῶν τῶν ἐν τοιαύτῃ ψυχῇ ἐνοικούντων . . . . . Ἐπὰν δὲ προσφύγῃ τῷ Θεῷ, καὶ πιστεύσῃ, καὶ αἰτήσῃ τὸ ἅλας τῆς ζωῆς, τὸ ἀγαθὸν καὶ φιλάνθρωπον πνεῦμα, τότε ἐλθὸν τὸ ἅλας τὸ οὐράνιον ἀναιρεῖ τοὺς δεινοὺς σκώληκας, καὶ ἀφανίζει τὴν πονηρὰν δυσωδίαν, καὶ καθαίρει αὐτὴν τῇ ἐνεργείᾳ τῆς δυνάμεως αὐτοῦ» (2).

4.] «Πῶς δύναται τὰ δύο πρόσωπα εἶναι ἐν τῇ καρδίᾳ, καὶ ἡ χάρις καὶ ἡ ἁμαρτία; Ὥσπερ, ὅταν ᾖ πῦρ ἔξωθεν χαλκίου, λοιπὸν ἐὰν ὑποβάλῃς ξύλα, ἰδοὺ ἔκπυρον γίνεται, καὶ τὸ ἔσωθεν τοῦ σκεύους ἕψεται, καὶ βράσσει, τοῦ πυρὸς ἔξωθεν ὑποκαιομένου· εἰδέ τις ἀμελήσῃ καὶ μὴ ὑποβάλῃ ξύλα, ἄρχεται χλιαρώτερον γίγνεσθαι τὸ πῦρ, καὶ ὥσπερ κατασβέννυσθαι· οὕτω καὶ ἡ χάρις τὸ πῦρ τὸ οὐράνιον καὶ ἔσωθέν σού ἐστι. Λοιπὸν ἐὰν εὔξῃ καὶ δώσῃς τοὺς λογισμούς σου εἰς ἀγάπην τοῦ Χριστοῦ, ἴδε πῶς ὑπέβαλες τὰ ξύλα, καὶ γίνονται οἱ λογισμοί σου πῦρ, καὶ βάπτονται εἰς τὸν πόθον τοῦ Θεοῦ. Εἰ δὲ καὶ ὑποχωρεῖ τὸ Πνεῦμα ὡς ἐξώτερόν σου γινόμενον, ἀλλὰ καὶ ἔσωθέν σου ἐστι, καὶ ἔξωθέν σου παραφαίνεται» (3).

5.] Ἡ χάρις κατέρχεται εἰς τὴν ψυχὴν τότε, ὅτε ἡ ψυχὴ ζητεῖ αὐτήν, ἀλλὰ παρὰ τὴν θέλησιν ἡμῶν οὐκ ἄρχεται, οὐδὲ τελεῖ ἐν ἡμῖν τὴν σωτηρίαν. « . . . . Ἔχει γὰρ τὴν φύσιν ὁ ἄνθρωπος τοιαύτην, καὶ ὁ ὢν ἐν τῷ βάθει τῆς κακίας, καὶ δουλεύων τῇ ἁμαρτίᾳ, τοῦ τραπῆναι ἐπὶ τὸ ἀγαθόν· καὶ ὁ δεδεμένος Πνεύματι ἁγίῳ, καὶ μεμεθυσμένος εἰς τὰ ἐπουράνια, ἔχει ἐξουσίαν τοῦ τραπῆναι ἐπὶ τὸ κακόν» (4). Ἡ χάρις οὐ καταστρέφει ἐν ἡμῖν καὶ τὰς φυσικὰς ἡμῶν ἰδιότητας, τὴν σκληρότητα ἢ τὴν πρᾳότητα, τὴν ἁπλότητα ἢ τὴν

(1) Ὁμιλ. β΄, σελ. 465. πρβλ. ὁμιλ. μδ΄.—
(2) Ὁμιλ. ά, σελ. 456.
(3) Ὁμιλ. μ΄, σελ. 766, 767.—
(4) Ὁμιλ. ιέ, §. 36. §. 40.

σύνεσιν. «Συμβαίνει δέ, ὅτι ἰδιώτης ὢν τις ἀναγεννᾶται πνευματικῶς, καὶ μεταβάλλεται εἰς σοφίαν, καὶ γνωρίζεται αὐτῷ ἀπόκρυφα μυστήρια καὶ ἰδιώτης ἐστὶ τῇ φύσει. Ἄλλος ἀπὸ φύσεως σκληρὸς ὤν, δίδωσιν ἑαυτοῦ τὸ θέλημα εἰς τὴν θεοσέβειαν, καὶ δέχεται αὐτὸν ὁ Θεός, μένει δὲ ἡ φύσις ἐν τῇ σκληρότητι, καὶ εὐδοκεῖ εἰς αὐτὸν ὁ Θεός» (1). Οὕτω πρὸς ἐπίδοσιν ἐν τῷ πνευματικῷ βίῳ χρὴ ἀποτάσσεσθαι τὸ πνεῦμα τοῖς ἐξωτερικοῖς καὶ σαρκικοῖς· ἀγωνίζεσθαι περὶ τῶν ἀρετῶν, ἰδίως τῆς ταπεινοφροσύνης καὶ ἀγάπης, διακρίνειν τὰς κακὰς ἐννοίας τῶν ἀγαθῶν, τὰς φυσικὰς τῶν τῆς χάριτος, πρὸ πάντων δ᾽ ἀσχολεῖσθαι περὶ τὴν προσευχήν (2).

6.] Ἡ ψυχή, καθαρθεῖσα διὰ τῶν μακροχρονίων ἀγώνων καὶ εἰς ἑαυτὴν προσέχουσα, ἐπὶ μᾶλλον καὶ μᾶλλον προσεγγίζει τῷ Κυρίῳ αὐτῆς: «Ὅσον γὰρ συνάγεις τὸν νοῦν σου εἰς τὴν ζήτησιν αὐτοῦ, πολὺ πλέον αὐτὸς ἀναγκάζεται ὑπὸ τῆς ἰδίας εὐσπλαγχνίας καὶ χρηστότητος ἐλθεῖν πρὸς σὲ καὶ ἀναπαῦσαί σε» (3).

7.] Ἐν παντὶ βαθμῷ τῆς πνευματικῆς τελειότητος δέον μεριμνᾷν περὶ τῆς σωτηρίας. «Παραχωρεῖ ἡ χάρις καὶ τοῖς τελείοις πνευματικοῖς ἔχειν τὰ θελήματα, καὶ τὴν ἐξουσίαν τοῦ ποιεῖν, ἃ θέλουσι, καὶ τρέπεσθαι, ὅπου βούλονται. Καὶ αὐτὴ δὲ ἡ φύσις ἡ ἀνθρωπίνη ἀσθενὴς οὖσα ἔχει ἐξουσίαν, καὶ συνόντος τοῦ ἀγαθοῦ τρέπεσθαι» (4). «Ἀκμὴν γὰρ οὐδένα εἶδον τέλειον ἄνθρωπον χριστιανόν, ἢ ἐλεύθερον· ἀλλ᾽ εἰ καὶ ἀναπαύεταί τις ἐν τῇ χάριτι, καὶ εἰσέρχεται εἰς μυστήρια καὶ ἀποκαλύψεις, καὶ εἰς ἡδύτητα πολλὴν τῆς χάριτος, ὅμως καὶ ἡ ἁμαρτία σύνεστιν ἀκμὴν ἔσω» (5).

8.] Τὸν ὕψιστον βαθμὸν τῆς πνευματικῆς τελειότητος τῆς ψυχῆς καλεῖ ὁτὲ μίαν κρᾶσιν τῆς ψυχῆς μετὰ τοῦ Κυρίου, ὁτὲ δὲ διαμονὴν παντὸς τοῦ νοῦ ἐν τῇ οὐρανίῳ Ἱερουσαλὴμ (6). Αὐτὴν δὲ τὴν

(1) Ὁμιλ. κϛ', §. 5.

(2) Περὶ ἀγάπ. σελ. 136. Περὶ ὑπομον. καὶ διακρίσ. σελ. 70. Περὶ προσευχ. σελ. 50. Περὶ ὑψώσεως τοῦ νοῦ σελ. 108. ὁμιλ. κέ, σελ. 359.—

(3) Ὁμιλ. λά, σελ. 729. edit. Migne.—

(4) Ὁμιλ. λζ', σελ. 701. edit. Migne.

(5) Ὁμιλ. ή, §. 5.

(6) Ὁμιλ. μϛ'. πρβλ. περὶ ὑψώσεως τοῦ νοῦ.

ἐνέργειαν τῆς χάριτος ἐν τῇ τοιαύτῃ ψυχῇ περιγράφει ὧδε: « . . . . ὅπερ ἐστὶν ἡ ἐπουρανίου φωτὸς ἐν ἀποκαλύψει καὶ δυνάμει τοῦ Πνεύματος ἔλλαμψις, ἵνα μή τις τὸν διὰ γνώσεως νοημάτων φωτισμὸν τοῦ Πνεύματος μόνον εἶναι νομίσας, κινδυνεύσῃ δι᾽ ἄγνοιάν τε καὶ ῥαθυμίαν τοῦ τελείου τῆς χάριτος ἀποτυχεῖν μυστηρίου» (1). «Εἰ δὲ καὶ εἰς ἓν τῶν κτισμάτων ἑαυτὸν ἀφομοιῶσαι βούλεται, δι᾽ ἀγαλλίασιν καὶ εὐφροσύνην τῶν νοερῶν κτισμάτων . . . . Πάντα εὔκολα αὐτῷ καὶ εὐχερῆ, εἰς ἃ θέλει μεταμορφουμένῳ ταῖς ἀξίαις αὐτοῦ καὶ πισταῖς ψυχαῖς· μόνον τις ἀγωνιζέσθω φίλος καὶ εὐάρεστος αὐτῷ γίνεσθαι, καὶ αὐτῇ πείρᾳ καὶ αἰσθήσει ὄψεται ἀγαθὰ ἐπουράνια, καὶ τρυφὴν ἀνέκφραστον, καὶ πλοῦτον ἄπειρον Θεότητος ἀληθῶς. . . »(2). Ἐνταῦθα δέ, ὁμιλῶν περὶ ἐμφανίσεων τῶν πνευμάτων ἐν ὁραταῖς εἰκόσι, καλεῖ ἕκαστον ποιηθὲν πνεῦμα λεπτὸν σῶμα· ἀλλὰ καλεῖ οὕτως ἰδίως ἐν συγκρίσει τοῦ πεπερασμένου πνεύματος πρὸς τὸ ἄπειρον (3).

9.] «Τινὲς γὰρ λέγουσι μίαν βασιλείαν καὶ γέενναν· ἡμεῖς δὲ λέγομεν βαθμοὺς πολλούς, καὶ διαφοράς, καὶ μέτρα· καὶ ἐν αὐτῇ τῇ βασιλείᾳ καὶ ἐν αὐτῇ τῇ γεέννῃ. Ὥσπερ δέ ἐστι ψυχὴ ἐν ὅλοις τοῖς μέλεσι, καὶ ἄνω ἐν τῷ ἐγκεφάλῳ ἐνεργεῖ, καὶ κάτω τοὺς πόδας αὐτὴ κινεῖ· οὕτω καὶ ἡ Θεότης πάντα τὰ κτίσματα τὰ ἐπουράνια, καὶ τὰ ὑποκάτω τῆς ἀβύσσου περιέχει, καὶ πανταχοῦ πεπλήρωται ἐν τῇ κτίσει, εἰ καὶ ἐξωτέρα τῶν κτισμάτων ἐστι, διὰ τὸ ἀμέτρητον καὶ ἀπερίληπτον. Προσέχει οὖν αὐτὴ ἡ Θεότης τοῖς ἀνθρώποις καὶ οἰκονομεῖ πάντα κατὰ λόγον· καὶ ἐπειδὴ τινὲς μὲν εὔχονται, μὴ εἰδότες, τί ζητοῦσι· τινὲς δὲ νηστεύουσιν, ἄλλοι στήκουσιν εἰς διακονίαν, ἑκάστῳ κατὰ τὸ μέτρον τῆς πίστεως, ὁ Θεὸς δικαιοκρίτης ὤν, ἀποδίδωσι τὸν μισθόν. Ἃ γὰρ ποιοῦσι, διὰ φόβον Θεοῦ ποιοῦσιν· ἀλλ᾽ οὐκ εἰσιν οὗτοι πάντες υἱοί, οὔτε βασιλεῖς, οὔτε κληρονόμοι«(4).

Τοιαύτη ἡ διδασκαλία τοῦ μεγάλου Ἀββᾶ περὶ τῆς σωτηρίας τῆς ψυχῆς!

---

(1) Περὶ ἐλευθερίας νοῦ λόγ. §. 21.

(2) Ὁμιλ. δ΄. §. 12. πρβλ. τὸν λόγον περὶ ὑψώσεως τοῦ νοῦ.

(3) Ὁμιλ. ε΄. 10.

(4) Ὁμιλ. μ΄. 3.—

§. 164. Ὁ ὅσιος Ὀρσίσιος Ἀββᾶς τῶν Ταβεννησιωτῶν. Ὁ ὅσιος Ἀββᾶς Ἡσαΐας.

Εἷς τῶν ἐνθέρμων μαθητῶν τοῦ ὁσίου Παχωμίου ἦν ὁ ἅγιος Ὀρσίσιος. Νέος ἔτι ὤν, τηλικαύτην ἐκτήσατο πνευματικὴν πεῖραν, ὥστε ὁ ὅσιος Παχώμιος ἀνέδειξεν αὐτὸν ἐπιστάτην τοῦ ἐν Χηνοβοσκίᾳ κοινοβίου (1). Διαλεγόμενος δέ ποτε ὁ μέγας Ἀββᾶς πρὸς τοὺς μαθητὰς αὐτοῦ, εἶπε περὶ τοῦ Ὀρσισίου: «Λέγω ὑμῖν, οὕτω προκόπτων Ὀρσίσιος, λυχνία ἐστὶ χρυσῆ ἐν οἴκῳ Κυρίου» (2). Ὁμοίως ἀπεφήνατο περὶ αὐτοῦ καὶ ὁ μέγας Ἀντώνιος, εἰπών, ὅτι ὁ Ὀρσίσιός ἐστιν «Ἰσραήλ, ὁρῶν τὸν Κύριον» (3). Ἀναπαυσαμένου τοῦ ὁσίου Παχωμίου (τῷ 349), ὁ Ὀρσίσιος, παρὰ τὴν θέλησιν αὐτοῦ, ἐξελέγη ἀρχηγὸς τῶν Ταβεννησιωτῶν μοναχῶν (4). Αὐξανομένου δὲ βαθμηδὸν ἐνταῦθα τοῦ ἀριθμοῦ τῶν ἀδελφῶν, ὁ Ὀρσίσιος ἐξελέξατο τὸν ὅσιον Θεόδωρον βοηθὸν αὐτοῦ· μετά τινα χρόνον παρέδωκεν αὐτῷ τὴν διοίκησιν τῶν Ταβεννησιωτῶν, αὐτὸς δ' ἀπεχώρησεν εἰς τὸ ἐν Χηνοβοσκίᾳ κοινόβιον (5). Μετὰ τὸν θάνατον τοῦ Θεοδώρου (περὶ τὸ 368) ὁ ἱεράρχης Ἀθανάσιος ἔγραψε πρὸς τὸν Ὀρσίσιον καὶ τοὺς ἀδελφούς: «... Οὐκοῦν, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί, μὴ κλαίετε Θεόδωρον· οὐ γὰρ ἀπέθανεν, ἀλλὰ καθεύδει. Μὴ δακρυέτω τις μνημονεύων αὐτοῦ, ἀλλὰ ζηλούτω τὸν βίον αὐτοῦ. Οὐ δεῖ γὰρ ἐπὶ τῷ ἀπελθόντι εἰς τὸν ἄλυπον τόπον λυπεῖσθαι. Ταῦτα κοινῇ ὑμῖν γράφω, ἐξαιρέτως δὲ σοί, ὦ ἀγαπητὲ καὶ ποθεινότατε Ὀρσίσιε, ἵνα, κοιμηθέντος ἐκείνου, σὺ τὴν ὅλην φροντίδα ἀναδέξῃ, καὶ γένου ἀντ' αὐτοῦ τοῖς ἀδελφοῖς. Καὶ γὰρ περιόντος ἐκείνου, ἀμφότεροι ὡς εἷς ἐτυγχάνετε, καὶ ἑνὸς ἀποδημοῦντος, ἐπληροῦτο ἡ τῶν δύο χρεία» (6). Ὁ μακάριος Ὀρσίσιος ἐξεπλήρωσε τὴν θέλησιν τοῦ μεγάλου Ἱεράρχου, καὶ ἀνεδέξατο τὴν διοίκησιν τοῦ πολυανθρώπου κοινοβίου τῶν Ταβεννησιωτῶν. Οὐκ ὀλίγον χρόνον διετέλεσε μετὰ τοῦτο ἀρχηγὸς τῶν

(1) Ὁ βίος τοῦ ἁγίου Ὀρσισίου συνεγράφη ὑπὸ συγχρόνου αὐτῷ, apud Bolland. Act. SS. Maii T. III. pag. 45. Gr. §. 76.

(2) Αὐτόθ. §. 76.

(3) Αὐτόθ. §. 77.

(4) Αὐτόθ. §. 75.

(5) Αὐτόθ. §. 83.

(6) Ἀθανάσ. Τόμ. Ά. σελ. 868.

Ταβεννησιωτῶν ἀσκητῶν, καὶ ἀνεπαύθη ἐν βαθεῖ γήρᾳ οὐ πρὸ τοῦ 376ου ἔτ. (¹).

Ὁ Ἀββᾶς Ὀρσίσιος πρὸς τῇ ὑψηλῇ εὐσεβείᾳ ἐκέκτητο εὐρεῖαν καὶ βαθεῖαν γνῶσιν τῆς ἁγίας Γραφῆς, καὶ εἶχε τὸ δῶρον τοῦ λόγου. « Ὁ Ἀββᾶς Ὀρσίσιος, γράφει ὁ βιογράφος αὐτοῦ, ἔτρεφε τοὺς ἀδελφοὺς κατὰ τὴν χάριν τὴν δοθεῖσαν αὐτῷ, καὶ ἔτι μᾶλλον προσετέθη αὐτῷ ὁ λόγος τοῦ λαλῆσαι εἰς παράκλησιν τῶν ἀδελφῶν » (²). Ὁ Γεννάδιος γράφει: « Ὁ Ὀρσίσιος, ἀνὴρ τὰς ἁγίας Γραφὰς ἄριστα εἰδώς, συνέταξε βιβλίον θείῳ ἅλατι ἠρτυμένον· καί, ἵνα ἁπλῶς εἴπω, ἅπασα σχεδὸν ἡ Παλαιὰ καὶ Καινὴ Διαθήκη ἐν αὐτῷ βραχείαις μελέταις, κατά γε τὴν ἀνάγκην τῶν μοναχῶν, εὑρίσκεται ἐκτεθειμένη. Τοῦτο κατέλιπε τοῖς πατράσιν ἀντὶ διαθήκης πρὸ τῆς τελευτῆς αὐτοῦ » (³). Τὸ βιβλίον ἐγράφη ὑπὸ τοῦ ὁσίου Ὀρσισίου αἰγυπτιαστί, ὥσπερ καὶ αἱ διδασκαλίαι τοῦ ὁσίου Παχωμίου, ἀλλὰ ταχέως μετεφράσθη ἑλληνιστί· ὁ δὲ μακάριος Ἱερώνυμος μετέφρασεν αὐτὸ λατινιστί (⁴). Ἐν τῷ βιβλίῳ τοῦ ὁσίου Ὀρσισίου εἰσὶ δύο συγγράμματα: *doctrina de institutione monachorum* (διδασκαλία λίαν μακρὰ περὶ τοῦ μοναχικοῦ βίου) καὶ διδασκαλία λίαν βραχεῖα *de Sex cogitationibus sanctorum* (περὶ τῶν ἓξ σκέψεων τῶν ἁγίων) (⁵).—

Ἐν τῇ διδασκαλίᾳ αὐτοῦ ὁ μακάριος Ἀββᾶς, παραινῶν ζῆν κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ, τὸ μὲν πρῶτον προτίθησι παραινέσεις τοῖς ἀρχηγοῖς τῶν κοινοβίων καὶ τοῖς γέρουσι τῶν κελλίων: « Μὴ παύου, λέγει, προτρέπειν ἑκάστην ψυχὴν ἐμπιστευθεῖσάν σοι, δίδασκε τὴν ἁγίαν ζωήν, ἔσο αὐτὸς παράδειγμα τῶν ἀγαθῶν ἔργων, πρόσεχε τὸν μὲν ἀγαπᾷν, τὸν δὲ μισεῖν, ἅπασιν ἔσο ὁ αὐτός, ἵνα μὴ ὁ Θεὸς μισήσῃ ἐκεῖνον, ὃν ἀγαπᾷς. . . . » Εἶτα δὲ συμβουλεύει τοῖς νεω-

(¹) Βίος Ὀρσισ. §. 95. Ἡ μνήμη τοῦ ἁγίου Ὀρσισίου μετὰ τῶν ἄλλων αἰγυπτίων ἐρημιτῶν τελεῖται τῷ Σαββάτῳ τῆς Τυρινῆς. Ἰδίᾳ τελεῖται ἡ μνήμη αὐτοῦ τῇ ιε. Ἰουλίου.

(²) Αὐτόθ. §. 78.

(³) Gennad. lid. de vir. illustr., c. IX.

(⁴) Praefat. in lib. S. Pachom.

(⁵) Ἀμφότερα ἐξεδόθησαν ὑπὸ Μιγνίου in Patrol. T. 40. pag. 869—895. Ὁ κανὼν λατινιστὶ in Benedicti aniansis codice regular. (Patrolog. Lat. T. 103).—

τέροις ὑπακούειν τοῖς πρεσβυτέροις. Ἀποτεινόμενος δὲ πρὸς ἅπαντας γράφει: «Τοῦτο τηρητέον, ἵνα μή τις μωρῷ λογισμῷ ἐξαπατηθείς, καὶ μάλιστα ταῖς παγίσι τοῦ διαβόλου περιπλακείς, εἴπῃ ἐν τῇ καρδίᾳ αὐτοῦ· ἀποθανών, δώσω τοῖς ἀδελφοῖς, ὅ,τι ἂν ἔχω. Ὦ μωρότατε ἄνθρωπε, ποῦ εὗρες τοῦτο γεγραμμένον; ἢ οὐ πάντες οἱ ἅγιοι, οἱ τῷ Θεῷ λατρεύοντες, πάραυτα ἅπαν τὸ τοῦ αἰῶνος φορτίον ἀπέθηκαν; ἢ οὐκ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, πανθ᾽ ὅσα εἶχον, ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων;» Σπανίως χρῆται ὁ ἅγιος Ἀββᾶς οἰκείαις λέξεσιν, ἀλλ᾽ ὡς ἐπὶ τὸ πολὺ ἐπαναλαμβάνει τὰς λέξεις τῆς ἁγίας Γραφῆς.—

Πρὸς νότον τῆς ἐρήμου τῆς Νιτρίας ἔκειτο ἡ τῆς Σκήτεως· κατὰ τὰς ψάμμους ἐπορεύοντο εἰς αὐτὴν τῇ ὁδηγίᾳ μόνον τῶν ἀστέρων. Ἐνταῦθα διῆγεν ἐρημικὸν βίον ὁ Ἀββᾶς Ἡσαΐας, κατὰ τὸν αὐτὸν χρόνον, καθ᾽ ὃν ἔζη καὶ ὁ ὅσιος Ὀρσίσιος, ἐπὶ τοῦ μεγάλου ἱεράρχου τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας Ἀθανασίου. Οὕτω γράφει περὶ αὐτοῦ ὁ μακάριος ἐπίσκοπος Ἀμμώνιος ἐν τῇ πρὸς Θεόφιλον τὸν Ἀλεξανδρείας ἐπιστολῇ (1). Μετὰ σεβασμοῦ ἀποφαίνονται περὶ αὐτοῦ ὁ Ρουφῖνος (2), καὶ ὁ Παλλάδιος (3), τινὰ δὲ ἀποφθέγματα αὐτοῦ εὑρηνται ἐν τοῖς ἀξιομνημονεύτοις ἀποφθέγμασι τῶν Πατέρων. Ἐνταῦθα ὁ Ἀββᾶς Ἡσαΐας λέγει: «οὐδὲν ὠφελιμώτερον τῷ νέῳ μοναχῷ τῆς ὕβρεως· δένδρον ποτιζόμενον καθ᾽ ἡμέραν, πότε ξηραίνεται αὐτοῦ ἡ ῥίζα εἰς τὸ μὴ καρποφορῆσαι;» (4).

Ἰωάννης ὁ Πατριάρχης Ἀντιοχείας, ἀπαριθμῶν τὰ ψυχοσωτήρια βιβλία, τὰ συγγραφέντα ὑπὸ τῶν ἁγίων Πατέρων τῆς Σκήτεως, τάσσει ἐν αὐτοῖς τὸ βιβλίον τοῦ ἁγίου Ἡσαΐου (5).

Νῦν εἰσι γνωστὰ τὰ ἑπόμενα συγγράμματα αὐτοῦ: ά.] 29 λόγοι ἐν λατινικῇ μεταφράσει τοῦ ις΄. αἰῶνος. Τὸ ἑλληνικὸν αὐτῶν κεί-

---

(1) Ἀμμών. ἐπ. apud Bolland. Act. SS. Maii, tom. III. pag. 357. §. XXIV. et gr. in fine p. 71.

(2) Rufin. in vit. Patr. I. II. c. 10. p. 358.

(3) Παλλάδ. Λαυσ. κεφ. 55, σελ. 989.

(4) Coteler. T. I. p. 809.

(5) Ἡ μνήμη τοῦ ἁγίου Ἡσαΐου τελεῖται τῷ Σαββάτῳ τῆς Τυρινῆς, ἐν δὲ τῷ Τριῳδίῳ καλεῖται Ἡσαΐας ὁ μέγας.

μενον οὔπω ἐξεδόθη· τὰ δὲ ἑλληνιστὶ ἐκδοθέντα 19 κεφάλαιά εἰσιν ἐκλογὴ τῶν λόγων τοῦ Ἀββᾶ Ἡσαΐου ([1])· β΄.] 68 κανόνες τοῖς ἀρχαρίοις μοναχοῖς ([2])· γ΄.] τὸ περιοδικὸν σύγγραμμα «Κυριακὴ ἀνάγνωσις» μεταδίδωσιν ἐν ρωσσικῇ μεταφράσει τὰ πρὸς τὸν μακάριον Θεόδωρον ἀποφθέγματα τοῦ Ἀββᾶ Ἡσαΐου περὶ τῶν ἁγίων γυναικῶν ([3]).

Ἡ ὑπόθεσις τῶν λόγων ἐστὶν ἥδε: 1] ἐντολαὶ πρὸς τοὺς ἀδελφοὺς τοὺς μετ' αὐτοῦ ζῶντας· 2] περὶ τοῦ κατὰ φύσιν νοῦ· 3] πρὸς τοὺς νεωτέρους ἀδελφοὺς διδασκαλία· 4] τί ἐν τῇ ὁδῷ τηρητέον; 5] τίνα καθήκοντα ὀφείλουσι τηρεῖν οἱ ἐν εἰρήνῃ οἰκεῖν ὁμοῦ ἐφιέμενοι· 6] οἱ βουλόμενοι τὴν ἔντιμον ἡσυχίαν ἀσπασθῆναι, ὀφείλουσι μὴ εἶναι περίεργοι, μηδὲ δαπανᾷν τὸν χρόνον περὶ ἀνωφελεῖς ἀσχολίας, παριέντες τὴν μνήμην τῶν ἰδίων ἁμαρτημάτων· 7] περὶ ἀρετῶν· 8] ἀποφθέγματα τοῦ μακαρίου Ἀββᾶ Ἡσαΐου· 9] πρὸς τοὺς ἀρνησαμένους τὸν κόσμον· 10] πρὸς τοὺς αὐτούς· 11] περὶ τοῦ κόκκου τοῦ σινάπεως· 12] περὶ οἴνου· 13] πρὸς τοὺς ὀρεγομένους τῆς τελειότητος· 14] τοῦ μακαρίου Ἡσαΐου πένθος καὶ θρῆνος· 15] περὶ καταφρονήσεως τοῦ κόσμου· 16] περὶ τῆς αὐτῆς ὑποθέσεως· 17] περὶ τῆς χαρᾶς τῆς ψυχῆς τῆς λατρευούσης τῷ Θεῷ· 18] περὶ λήθης τῶν ἀδικιῶν· 19] περὶ τῶν ἀσθενειῶν τῆς ψυχῆς· 20] περὶ ταπεινώσεως· 21] περὶ μετανοίας· 22] περὶ τῶν ἔργων τοῦ νέου ἀνθρώπου· 23] περὶ τελειότητος· 24] περὶ ἠρεμίας· 25] τοῦ αὐτοῦ πρὸς Πέτρον τὸν Ἀββᾶν μαθητὴν αὐτοῦ· 26] τοῦ μακαρίου Ἡσαΐου ἀποφθέγματα, ἃ Πέτρος ὁ Ἀββᾶς ὁ μαθητὴς αὐτοῦ παρέλαβε παρ' ἐκείνου καὶ τοῖς τέκνοις παρέδωκε· 27] εἰς τό: πρόσεχε σεαυτῷ· 28] περὶ τῶν κλάδων τῆς ἁμαρτίας· 29] τοῦ αὐτοῦ θρῆνος.—

([1]) Ἀμφότερα ἐξεδόθ. in Patrol. gr. T. 40. p. 1105—1211.

([2]) Ἐξεδόθη in Patrol. lat. Tom. 103. pag. 427—434.

([3]) Κυριακὴ ἀνάγν. ἀπὸ τοῦ ἔτους 1856—1858.

§. 165. Ὁ ἅγιος Ἐπιφάνιος ὁ Κύπρου Ἀρχιεπίσκοπος. Βίος αὐτοῦ.

« Ἐπισημότατος ἐν μοναστικῇ φιλοσοφίᾳ, γράφει ὁ Σωζόμενος, γέγονεν ὁ Ἐπιφάνιος παρά τε Αἰγυπτίοις καὶ Παλαιστινοῖς, μετὰ δὲ ταῦτα καὶ Κυπρίοις, παρ' οἷς ἡρέθη τῆς μητροπόλεως τῆς νήσου ἐπισκοπεῖν » (1). Ἐγεννήθη ἔν τινι κώμῃ τῆς Παλαιστίνης, Βησανδούκῃ καλουμένῃ, παρὰ τὴν Ἐλευθερούπολιν, ἐκ γονέων Ἰουδαίων (2). Ἀποθανόντος τοῦ πατρὸς αὐτοῦ, σοφός τις Ἰουδαῖος παρέλαβεν αὐτὸν παρ' ἑαυτῷ, ἵνα ἀναθρέψῃ αὐτόν· μετὰ δὲ τὸν θάνατον αὐτοῦ ὁ Ἐπιφάνιος, γενόμενος γνώριμος τῷ ἐρημίτῃ Λουκιανῷ, κατέλιπε τὴν πλουσίαν κληρονομίαν, τὴν παραχωρηθεῖσαν αὐτῷ ὑπὸ τοῦ υἱοθετήσαντος αὐτὸν Ἰουδαίου, ἐβαπτίσθη, καὶ ἠσπάσατο τὸν ἀσκητικὸν βίον. Ὅπως ἴδῃ τὰ πρότυπα τῆς ἐρημικῆς εὐσεβείας, ἀπῆλθεν εἰς Αἴγυπτον, ἔνθα ἠκροάσατο τῶν περὶ πίστεως διδασκαλιῶν· ἀλλὰ μικροῦ δεῖν, ἐξηπατήθη ὑπὸ τῶν Γνωστικῶν. Ἀπαλλαγεὶς τῶν δικτύων αὐτῶν, ἐδήλωσε τοῖς ἐπιτοπίοις ἐπισκόποις τὰ μυστήρια τῆς αἱρέσεως (3), καὶ κατὰ τὸ κ'. ἔτος ἐπανῆλθεν οἴκαδε (4). Ἡ δόξα τοῦ Ἱλαρίωνος, θαυμαστοῦ ἐρημίτου τῆς Παλαιστίνης, ἤρξατο ἑλκύειν πρὸς αὐτὸν μαθητὰς ἔτι ἀπὸ τοῦ 323ου ἔτ. (5). Πρὸς τὸν μέγαν Ἱλαρίωνα ἀφίκετο καὶ ὁ Ἐπιφάνιος, ὅστις μετά τινα ἔτη οὕτως ἰδιοποιήσατο τὴν εἰκόνα τῶν ἀσκητικῶν ἀγώνων τοῦ Ἐρημίτου τῆς Γάζης, ὥστε καθ' ἅπασαν αὐτοῦ τὴν ζωὴν διετέλεσε μιμητὴς ἐκείνου. Προσερχομένων δὲ πλείστων τῷ Ἱλαρίωνι, ἠναγκάσθη τῷ 364 ἀπελθεῖν τὸ μὲν πρῶτον εἰς Αἴγυπτον, ἔπειτα δ' εἰς Κύπρον. Ὁ μακάριος Ἐπιφάνιος ἀπεχώρησε τότε εἰς κένανδρον καὶ ἄνυ-

(1) Σωζόμ. ἐκκλ. ἱστορ. ς', 32. Ὁ βίος τοῦ ἁγίου Ἐπιφανίου, ὁ συγγραφεὶς δῆθεν ἐκ τῶν λόγων τῶν μαθητῶν αὐτοῦ, τοῦ πρεσβυτέρου Ἰωάννου καὶ τοῦ ἐπισκόπου Ρινοκορούρων Πολυβίου (op. S. Epiphan. T. II. ed. Migne T. I.) οὐκ ἔστιν ἀξιόπιστος κατὰ πάντα· διότι ἐν αὐτῷ εἰσι πολλὰ ἀπᾴδοντα τῇ τε ἱστορίᾳ καὶ τῇ χρονολογίᾳ.—

(2) Σωζόμ. αὐτόθ.—

(3) Ἐπιφ. αἱρ. κς', §. 17.

(4) Ἐπιφάν. ἐν τῷ Ἀγκυρωτῷ. Σωζόμ. ς'. 32.

(5) Hieron. vit. S. Hilarionis.

δρον ἔρημον (Σπανύδριον) εἰς τὰ περίχωρα τῆς Ἐλευθερουπόλεως. Ἐνταῦθα συμμορία ληστῶν Ἀράβων, μικροῦ δεῖν ἐστέρησε τὴν ζωὴν τὸν αὐστηρὸν ἀναχωρητήν· ἀλλ᾽ ἡ αἰφνίδιος θεραπεία τοῦ ἀρχηγοῦ αὐτῆς μετέβαλε τὰ τέκνα τῆς ἐρήμου εἰς πρᾴους ἀσκητὰς τῆς πίστεως. Ὁ Ἐπιφάνιος ἐκήρυξε τὴν πίστιν τοῖς πυρολάτραις τοῦ Ζωροάστρου, ἀλλ᾽ ἄνευ σημαντικῆς ἐπιτυχίας (1). Ὁ αὐστηρὸς ζηλωτὴς τῆς Ὀρθοδοξίας ἀπεχωρίσθη τῆς κοινωνίας τοῦ Ἐλευθερουπόλεως ἐπισκόπου Εὐτυχίου, ἐξ ἀδυναμίας μεταβάντος εἰς τὴν μερίδα τῶν Ἀρειανῶν (2), καὶ μετ᾽ ἀγάπης ἐδέχετο τοὺς διωκομένους ὁμολογητὰς τῆς ἁγίας ἀληθείας (3). Βαρέως φέρων τὴν δόξαν, ἀπεχώρησεν ἐκ τῆς ἐρήμου αὐτοῦ εἰς τὰς ἐρήμους τῆς Αἰγύπτου, ἔπειτα δὲ εἰς Κύπρον, ἔνθα ἠκροάσατο τῶν διδασκαλιῶν τοῦ τότε γνωστοῦ Ἀββᾶ Γρηγορίου (4). Περὶ τὸ 367, κατὰ τὸ ἑξηκοστὸν ἔτος τῆς ζωῆς αὐτοῦ, ἠναγκάσθη, συνῳδὰ τῇ προρρήσει τοῦ ἁγίου Ἱλαρίωνος, δέξασθαι τὴν διοίκησιν τῆς Ἐκκλησίας τῆς Σαλαμῖνος (5). Ἐπὶ τοῦ ἀρχιερατικοῦ θρόνου ὁ Ἐπιφάνιος διέπρεψεν ἐπὶ φιλοπτωχίᾳ, ἁπλότητι ἐρημίτου, καὶ ζήλῳ πρὸς τὴν πίστιν, καὶ ἦν σεβαστὸς διὰ τὴν αὐστηρότητα τοῦ βίου (6). Καὶ αὐτὸς ὁ Οὐάλης (τῷ 371) κατέλιπεν

(1) Βίος τοῦ Ἐπιφαν. Ἐνταῦθα ὁ λαός, πρὸς ὃν προσεκλήθη ὁ Ἐπιφάνιος, καλεῖται μάγοι. Οὗτοι ἀναμφιβόλως ἦσαν οἱ καυκάσιοι ἐκεῖνοι πυρολάτραι, οἱ παρὰ τοῖς μεταγενεστέροις καλούμενοι Πάρσοι, Οὗροι· διότι ὁ κύριος τόπος τῆς διαμονῆς αὐτῶν ἐν τῇ βιογραφίᾳ καλεῖται Οὔριον (Τ. 2. σελ. 323, 329, edit Petavii).

(2) Hieron ep. LXI ad Pammachium.

(3) Ἐπιφάν. κατὰ αἱρ. λ΄. §. 5. Facund. Epist. Cathol. fidei pro defensione trium capitulorum.

(4) Βίος τοῦ ἁγ. Ἐπιφαν. Τ. 2. σελ. 346. Ἐν Κύπρῳ ὁ ἅγιος Ἐπιφάνιος ἔζησε χρόνον τινὰ παρὰ τῷ Ἀββᾷ Γρηγορίῳ πρὶν ἢ χειροτονηθῇ ἀρχιεπίσκοπος, ὡς τοῦτο σαφῶς δεικνῦσιν αἱ διδασκαλίαι καὶ αἱ ἐπιστολαὶ τοῦ Γρηγορίου πρὸς τὸν Ἐπιφάνιον. Ἴδ. Assemen. Bibl. Or. T. I. p. 170—174. Σωζόμ. Ἐκκλ. ἱστορ. ϛ΄. 32.

(5) Βίος τοῦ ἁγ. Ἐπιφαν. Hieron. in epitaph. Paulæ ep. XXVII. Ὁ Παλλάδιος ἐν τῷ βίῳ τοῦ Χρυσοστόμου (ap. Montfaucon. p. 30) λέγει, ὅτι ὁ Ἐπιφάνιος ἦν ἐπίσκοπος τριάκοντα ἓξ ἔτη.

(6) Σωζόμ. ζ, 27.

ἐν ἡσυχίᾳ τὸν ποιμένα καὶ ἀσκητὴν τῆς Σαλαμῖνος. Τῷ 373, κατὰ παράκλησιν πρεσβυτέρων τινῶν ὁ μακάριος Ἐπιφάνιος συνέγραψε τὸν Ἀγκυρωτόν, κληθέντα οὕτω, «ὅτι ἀγκύρας δίκην τὸν περὶ τῆς ζωῆς καὶ σωτηρίας ἐρευνῶντα νοῦν ἄγει» (1). Τῷ ἑπομένῳ ἔτει ἔλαβεν ἀρχήν, τῷ δὲ 376 πέρας, ὡσαύτως κατὰ παράκλησιν εὐσεβῶν ἀνδρῶν καὶ τὸ μακρὸν σύγγραμμα κατὰ τῶν αἱρέσεων— τὸ Πανάριον (2). Περὶ δὲ τὸ 376 ἀπῆλθεν εἰς Ἀντιόχειαν προτρέψων τὸν ἐκεῖ Ἐπίσκοπον Βιτάλιον ἀποστῆναι τῆς διδασκαλίας τοῦ Ἀπολλιναρίου, ἀλλ' οὐδὲν κατώρθωσε. Γενικὸν σεβασμὸν παρεῖχεν αὐτῷ κατ' ἐξοχὴν ἡ εὐαγγελικὴ ἐλευθεριότης αὐτοῦ πρὸς τοὺς πτωχούς, ἡ καὶ ἄνωθεν ἀνταμειφθεῖσα. Ὁ ἱστορικὸς γράφει: «. . . μεταδοτικὸς ὢν περὶ δεομένους, ἢ ναυαγίους, ἢ ἄλλως δυστυχήσαντας, ἐπειδὴ πάλαι τὴν οὐσίαν ἀνάλωσεν, εἰς δέον ἐσπάθα τοῖς τῆς Ἐκκλησίας χρήμασι· πλεῖστα δὲ ἦν· πάντοθεν γὰρ πολλοὶ τὸν πλοῦτον εὐσεβῶς ἀναλίσκειν προθέμενοι, καὶ ζῶντες τῇ ὑπ' αὐτὸν Ἐκκλησίᾳ παρεῖχον, καὶ τελευτῶντες, κατελίμπανον· ἐθάρρουν γάρ, ὡς οἰκονομικὸς καὶ θεοφιλὴς ὤν, κατὰ γνώμην αὐτοῖς ἀναλώσει τὰ δῶρα . . . . ἐπεὶ δὲ πάντα ἀνάλωτο, ἐπιστάς τις τῷ δωματίῳ, οὗ διῆγεν ὁ οἰκονόμος, βαλάντιον πολλῶν χρυσῶν νομισμάτων ἔδωκεν» (3). Ὁ μακάριος Ἐπιφάνιος, ὅσον ἦν πρὸς τοὺς πτωχοὺς ἐλεήμων, τοσοῦτον ἐμερίμνα ὑπὲρ τῆς Ἐκκλησίας, ἀλλ' ἐνίοτε πονηροὶ ἄνθρωποι ἐχρῶντο τῇ ἁπλότητι αὐτοῦ ἐπὶ βλάβῃ τῆς Ἐκκλησίας. Τῷ 382 διὰ τὴν ὑπόθεσιν τοῦ Μαξίμου καὶ τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας ἀφίκετο μετὰ τοῦ Ἐπισκόπου Παυλίνου εἰς Ρώμην, ἔνθα προσεκλήθησαν καὶ ἄλλοι ἐπίσκοποι, ἀλλ' ἔνθα παρεγένοντο μόνον πληρεξούσιοί τινων (4). Ἐπανελθὼν ἐκ Ρώμης, ἐπειράθη προσωπικῶς πεῖσαι τὸν ἀρχιεπίσκοπον Ἱεροσολύμων Ἰωάννην καὶ ἄλλους ἀναγνωρίσαι τὸν Ὠριγένην, ὡς διδάσκαλον ἐπικίνδυνον τῇ πίστει, ἀλλ' ἀπέ-

(1) Περιοχὴ λόγου. Τ. 3. p. 12. ed Migne.

(2) Ἐπιστ. τῶν Ἀρχιμανδρ. Ἀκακίου καὶ Παύλου Τ. Ι.

(3) Σωζόμ. ζ'. 27.

(4) Hieron. epist. LXXVI. ad Eustochium pag. 671. Ὁ Ἐπιφάνιος κατέλυσεν ἐν τῇ οἰκίᾳ τῆς Παύλας, χήρας τοῦ Τοξοτίου. Hieron. epist. XXVIII. ad Asellam pag. 66. Θεοδώρ. ἐκκλ. ἱστορ. έ. 8.—

τυχε τούτου. Ὁ Ἰωάννης ὑπέδειξεν αὐτῷ ἐγγράφως τὴν ἀβουλίαν αὐτοῦ, χειροτονήσαντος ἱερέα ἐν ἀλλοτρίᾳ ἐπαρχίᾳ. Ὁ Ἐπιφάνιος ἐν τῇ ἀποκρίσει ἔγραψεν αὖθις περὶ τοῦ Ὠριγένους(1). Θεόφιλος ὁ Ἀλεξανδρείας ἐπειράθη συνδιαλλάξαι τὸν Ἐπιφάνιον πρὸς τὸν Ἰωάννην, παραστήσας τῷ πρώτῳ πρὸς τοῖς ἄλλοις καὶ τὴν πρὸς τὸν ἀνθρωπομορφισμὸν τάσιν αὐτοῦ. Ἀλλὰ τῷ 400 ἔτ. ὁ αὐτὸς Θεόφιλος, ἵνα εὕρῃ ἐν τῷ εὐπίστῳ ποιμένι τῆς Σαλαμῖνος βοηθὸν πρὸς ἐκπλήρωσιν τῶν κακοβούλων σκοπῶν τῆς ἀκαθάρτου αὐτοῦ καρδίας, ἔπεισεν αὐτὸν ἐξενεγκεῖν ἐν Κύπρῳ καταδίκην κατὰ τῶν ἐν Νιτρίᾳ μοναχῶν, κατακριθέντων ὑπὸ τοῦ Θεοφίλου ἐπὶ ὠριγενισμῷ· ἔπειτα δέ, ὅτε διὰ τὴν ὑπόθεσιν ταύτην ἀπήτουν αὐτὸν τὸν Θεόφιλον, ἵνα δικασθῇ ἐν Κωνσταντινουπόλει, κατέπεισε τῷ 402 τὸν Ἐπιφάνιον σπεῦσαι εἰς Κωνσταντινούπολιν(2), ὅπως ἀναγκάσῃ τὸν ποιμένα τῆς Κωνσταντινουπόλεως κατακρῖναι τοὺς μεγάλους ἀδελφούς, οὓς ἐξώρισε τῆς Ἀλεξανδρείας, καὶ οὓς ἐδέξατο ὁ θεῖος Χρυσόστομος(3). Ὁ ποιμὴν τῆς

(1) Ἴδ. ἐπιστ. Ἐπιφαν. πρὸς Ἰωάννην τὸν Ἱεροσολύμων Τ. 3. σελ. 379. ed Migne.—

(2) Σωζόμ. ή. 14. Σωκρ. ς΄. 10. Παλλ. ἐν β. Χρυσοστόμου (ap Montfaucon. p. 60). Ὁ Θεόφιλος ἔγραψεν ἐν τῇ πασχαλ. ἐπιστολῇ κατὰ τῶν ἀνθρωπομορφιτῶν. Cassian. collat. X. c. 2. Gennad. de vir. illustr. c. 33. Theoph. ep. inter. ep. Hieron. 92. ed Villarsii. Ὁ Θεόφιλος καὶ ἔπειτα ἔδειξεν, ὅτι ἢ οὐδέποτε ἐνόει, ἢ οὐδέποτε εἰλικρινῶς ἀπέρριπτε τὰς ψευδεῖς τοῦ ὠριγενισμοῦ δοξασίας· διότι ἐχειροτόνησε τὸν Συνέσιον ἐπίσκοπον, καίπερ ὁμολογοῦντα αὐτῷ τὰς νεοπλατωνικὰς αὐτοῦ δοξασίας. Ὁ ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης καλεῖ τὸν Θεόφιλον τὰ μάλιστα ἄστατον ἄνθρωπον, σύναμα δὲ φυλάργυρον καὶ φιλόδοξον.—

(3) Μεγάλοι ἢ μακροὶ ἐκαλοῦντο ἐκ τοῦ ἀναστήματος— ὁ Διόσκορος, ὁ Ἰσίδωρος, ὁ Ἀμμώνιος, ὁ Εὐσέβιος, καὶ ὁ Εὐθύμιος, πεφωτισμένοι καὶ αὐστηροὶ ἀσκηταὶ τῆς ἐν Νιτρίᾳ ἐρήμου, ἔνθα τὸν ἀσκητικὸν ἤγαγον βίον μετὰ τῆς αὐτῆς αὐστηρότητος καὶ αἱ συνεταὶ αὐτῶν ἀδελφαὶ (Παλλάδ. Λαυσαϊκ. κεφ. 10—17). Τὸ μῖσος τοῦ Θεοφίλου πρὸς τοὺς μεγάλους ἀδελφοὺς ἤρξατο ἐκ τούτου, ὅτι τὸ πρῶτον ἐμίσησε τὸν εὐσεβῆ πρεσβύτερον καὶ οἰκονόμον Ἰσίδωρον διανείμαντα χιλίους χρυσίνους τοῖς ἐνδεέσι τῆς Ἀλεξανδρείας κατὰ τὴν θέλησιν γυναικός τινος χήρας ὁρκωσάσης αὐτὸν κατὰ τῆς τοῦ

Κωνσταντινουπόλεως προσηνέχθη τῷ Ἐπιφανίῳ μετὰ πάσης ἀγάπης, ἀλλ' οὐκ ἠδουλήθη κατακρῖναι ἀνεξετάστως τοὺς ἀδελφούς. Τινὲς τῶν ἐπισκόπων, τῶν εἰς τὴν σύνοδον προσκληθέντων, οὐ συνεφώνουν τῇ γνώμῃ τοῦ Ἐπιφανίου, ὅστις ῥᾳδίως πιστεύων ταῖς συκοφαντίαις ἀνθρώπων πανούργων, ἦν ἤδη ἕτοιμος καταδικάσαι καὶ αὐτὸν τὸν Χρυσόστομον ἐν τῇ μητροπολίτιδι Ἐκκλησίᾳ. Ὁ Ἀρχιερεὺς τῆς πρωτευούσης ἔπεμψε τὸν ἀρχιδιάκονον αὐτοῦ παραστῆσαι τῷ Ἐπιφανίῳ, ὅτι ἡ ἐνέργεια αὐτοῦ ἔφερεν εἰς ταραχὴν καὶ ὅτι ἡ χειροτονία διακόνου ἐν ἀλλοτρίᾳ ἐπαρχίᾳ, ἀπᾴδει τοῖς κανόσι τῆς Ἐκκλησίας. Ὁ Ἐπιφάνιος ἀπέστη. Αὐτοὶ δὲ οἱ ἀδελφοί, ἐμφανισθέντες αὐτῷ, κατέδειξαν, ὅτι κατέκρινεν αὐτούς, ὑπ' ἄλλων παρασυρθείς. Ὁ ποιμὴν τῆς Κύπρου κατέλιπε τὴν Κωνσταντινούπολιν, ἵνα μὴ ἀναμιχθῇ πλέον εἰς ὑπόθεσιν, ἐν ᾗ τοιοῦτον μέρος ἐλάμβανον τὰ πάθη(1). Κατὰ τὸν Σωκράτην καὶ Σωζόμενον(2), ὁ μὲν Ἰωάννης προεῖπε τῷ Ἐπιφανίῳ, ὅτι οὐκ ὄψεται τὸ ἑαυτοῦ ποίμνιον, ὁ δὲ Ἐπιφάνιος εἶπε τῷ Ἰωάννῃ, ὅτι οὐδ' αὐτὸς ἀποθανεῖται ἐν τῇ ἐπισκοπῇ αὐτοῦ. Ἀπερχό-

Σωτῆρος τραπέζης διανεῖμαι τούτους ἐν ἀγνοίᾳ τοῦ Θεοφίλου, καὶ ἀποχωρήσαντα πρὸς τοὺς ἐν Νιτρίᾳ μοναχούς. Ὑπὸ τοῦ μίσους τούτου ὅλος κυριευθεὶς ὁ Θεόφιλος, ἔπεμψεν ὑπὸ τὸ πρόσχημα ζήλου κατὰ τοῦ ὠριγενισμοῦ σῶμα στρατιωτῶν, τὸ μὲν φονεῦσαν, τὸ δὲ διασκορπίσαν τοὺς μοναχοὺς τῆς Νιτρίας. Ὁ Σουλπίκιος Σευῆρος, αὐτόπτης ὤν, γράφει, ὅτι οἱ ἐπὶ ταῖς δοξασίαις τοῦ Ὠριγένους καταδιωκόμενοι, ἔλεγον: «Μὴ ἀναδεχόμενοι ὑπερασπίσαι τὸ ἐν τοῖς βιβλίοις τοῦ Ὠριγένους ψευδές, λέγομεν, ὅτι τοῦτο εἰσήχθη ὑπὸ τῶν αἱρετικῶν, καὶ διὰ τοῦτο δικαίως ἐστὶν ἀξιόμεμπτον, ἀλλὰ τὰ ἄλλα οὐκ εἰσι κατακριτέα. Ἡ πίστις τοῦ ἀναγινώσκοντος ῥαδίως δύναται διακρῖναι τοῦτο καὶ ἐκεῖνο». Dialog. I. 1. Μέχρι δὲ τίνος βαθμοῦ προέβη ὁ ἀνθρωπομορφισμός τινων, δείκνυσι τὸ συμβὰν μοναχῷ τινι. Ἀποδειχθέντος αὐτῷ, ὅτι ὁ Θεὸς οὐκ ἔστι τοιοῦτος, οἷον αὐτὸς ἐφαντάζετο, εἶπε μετὰ λύπης: «ὢ τάλας ἐγώ! ἀφεῖλον ἐμὲ τὸν Θεόν μου, καὶ νῦν οὐκ οἶδα τίνα με δεῖ ἡγεῖσθαι Θεόν, τίνα προσκυνεῖν, τίνι προσεύχεσθαι». Cassian. Collat. X. c. 3.—

(1) Φώτ. βιβλιοθ. ἀνάγν. 97. σ. 263. Σωζόμ. ή. 14, 15. Σωκρ. ς'. 12, 13.—

(2) Σωζόμ. ή. 15. Σωκρ. ς'. 14.

μενος εἰς Κύπρον ὁ ποιμὴν καὶ θαυματουργὸς τῆς Κύπρου(1), ὁ αὐστηρὸς ἀσκητὴς καὶ θερμὸς τῆς ὀρθοδοξίας ζηλωτής, καί περ οὐκ ἀείποτε κατ' ἐπίγνωσιν, ἐτελεύτησεν ἐν βαθεῖ γήρᾳ (2).

§. 166. Χαρακτὴρ αὐτοῦ ὡς διδασκάλου· συγγράμματα: α] κατὰ αἱρέσεων· ϐ] ἑρμηνευτικά· γ] ὁμιλίαι.

Αὐτὸς ὁ βίος τοῦ ποιμένος τῆς Κύπρου δείκνυσιν, ὅτι ἦν πρόθυμος ὑποστῆναι βαρεῖς πόνους καὶ προσενεγκεῖν θῦμα καὶ αὐτὴν αὐτοῦ τὴν ζωὴν ὑπὲρ τῆς ὀρθοδοξίας. Αὐτὸς ὁ βίος αὐτοῦ δείκνυσιν ὡσαύτως τὴν ἁπλότητα αὐτοῦ, ἁπλότητα ἔσθ' ὅτε καθιστᾶσαν αὐτὸν λίαν εὔπιστον τοῖς ἄλλοις, καὶ τοῖς ἑαυτοῦ αἰσθήμασιν. Ὁ Ἱερώνυμος, προσωπικῶς γνωρίσας τὸν ἅγιον Ἐπιφάνιον, λέγει, ὅτι ἦν εἰδήμων τῶν τότε λαλουμένων γλωσσῶν, τῆς ἑϐραΐδος δηλονότι καὶ συριακῆς, καὶ αἰγυπτίας, ἑλληνίδος τε καὶ λατινίδος(3). Ἐντεῦθεν, ὁ θεῖος Πατὴρ ἔχων ζῆλον πρὸς τὴν ὀρθοδοξίαν, ἐννοεῖται, ὅτι ἦν κάτοχος καὶ πλείστων ὅσων

(1) Ὁ Σωζόμ. ζ'. 27. λέγει, ὅτι τὸν Ἐπιφάνιον «οὐ μόνον τὰ περὶ τὴν πολιτείαν ἐπίσημον ἐπὶ ἀρεταῖς ἀπέδειξεν, ἀλλὰ καὶ ὅσα παράδοξα, ζῶντος αὐτοῦ, καὶ μετὰ τελευτὴν τιμῶν τὸν ἄνδρα ὁ Θεὸς ἐπετέλεσε». Πρϐλ. Φώτ. παρὰ Montfaucon. in Biblioth. Coisliniana, pag. 349.

(2) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ιϐ'. Μαΐου. Ἐν Κύπρῳ ἀνεδείμαντο οἱ μαθηταὶ αὐτοῦ ναὸν εἰς τιμὴν τοῦ ἁγίου, ἔνθα ἦν ἡ εἰκὼν αὐτοῦ μετὰ πολλῶν ἄλλων εἰκονικῶν στηλογραφιῶν (Σύν. Ζ'. τουτέστιν ἡ ἐν Νικαίᾳ Β'. ἐν Πρ. ς'.). Κατὰ Θεόδωρον τὸν Στουδίτην, ὁ ναὸς οὗτος ᾠκοδομήθη ὑπὸ τοῦ μαθητοῦ τοῦ Ἐπιφανίου Σαϐίνου, ἔχων διαγεγραμμένην ἐπὶ τοῦ τοίχου ἅπασαν τὴν εὐαγγελ. ἱστορίαν (Ἀντιῤῥητ. Β'. σελ. 130. edit. Sirmondi, T. V.). Ἡ ἀπόκρισις τοῦ Σαϐίνου πρὸς τὸν ἐπίσκ. Πολύϐιον περὶ τῶν λειψάνων τοῦ Ἐπιφανίου, εὕρηται παρὰ Πεταυΐῳ λατινιστί, ἑλλην. δὲ in Auct. vet. collect. 7, 178. Αἱ μαρτυρίαι αὗται περὶ τοῦ πρὸς τὸν ἅγιον σεϐασμοῦ εἰσιν ἀναγκαῖαι πρὸς ὀρθὴν κατάληψιν τῆς πράξεως αὐτοῦ τοῦ Ἐπιφανίου μετὰ τοῦ ἐκκλησιαστικοῦ παραπετάσματος.

(3) Hieron. Apolog. I. advers. Rufin. καὶ Apolog. II. Ἐν τῇ ἐπιστολῇ ad Pammachium καλεῖ αὐτὸν «ἐπισημότατον ποιμένα, οὗ οὐδεὶς ἦν ἀνώτερος . . . οὔτε κατὰ τὰς γνώσεις, οὔτε κατὰ τὰς ἰδιότητας τοῦ βίου, οὔτε κατὰ τὴν ἀπόφασιν τοῦ κόσμου». Τοῦτο ἐῤῥέθη ἐν τῇ πρὸς τὸν Ρουφῖνον ἔριδι, διό ἐστιν ὑπερϐολικόν.—

ἱστορικῶν γνώσεων. Ἐσπούδασεν ἐκμαθεῖν ἀκριβῶς τὴν ἁγ. Γραφήν. Ταυτὸ δεικνῦσι καὶ τὰ συγγράμματα αὐτοῦ. Εἶχεν ἆράγε ἐν τῷ αὐτῷ βαθμῷ ἀγχίνοιαν καὶ αὐστηρὰν ἀλληλουχίαν ἰδεῶν; Ἥ τε εὐπιστία καὶ τὰ συγγράμματα αὐτοῦ οὐκ ἐπιτρέπουσιν ὑποστηρίξαι τοῦτο καθ' ὁλοκληρίαν. Τὰ συγγράμματα αὐτοῦ δεικνῦσι μόνον, ὅτι πρὸς ταῖς εὐρείαις γνώσεσιν εἶχε καὶ τὴν ἐμπειρίαν τοῦ ἐξακριβοῦν καὶ ἐξεικονίζειν τοὺς χαρακτῆρας τῶν ἀνθρώπων καὶ τὸ πνεῦμα τῆς διδασκαλίας(1). Ἀλλ' ἐν ᾧ ὁ ζῆλος αὐτοῦ πρὸς τὴν ἀλήθειαν ἐπλούτιζεν αὐτὸν ἱστορικαῖς γνώσεσιν, αὐτὸς οὐκ ἐζήτει ἐμβριθῶς τὴν ἀλήθειαν, ἀλλ' ἐπέτρεπεν ἄλλοις ἀγχινουστέροις αὐτοῦ κρίνειν περὶ αὐτῆς. Ἐντεῦθεν ὁ Ἱερώνυμος, καίπερ λίαν συγκαταβατικὸς πρὸς τὸν Ἐπιφάνιον, λέγει, ὅτι αἱ εἰδήσεις τοῦ Ἐπιφανίου χρῄζουσι προσεκτικῆς ἐξετάσεως(2). Αὐτὸς οὗτος ὁμολογεῖ ἀφελῶς, ὅτι ἐσθ' ὅτε ἠκολούθει μόνον ταῖς φήμαις(3). Ἡ γνῶσις τῆς ἑβραϊκῆς καὶ συριακῆς γλώσσης ἦν πλεονέκτημα σπάνιον ἐν τῷ τότε χρόνῳ, ἀλλ' οὐχ οὕτως εὔκαρπον ἐν αὐτῷ, ὅσον ἐν Ἐφραὶμ τῷ Σύρῳ καὶ Ἱερωνύμῳ. Περὶ τῆς φράσεως αὐτοῦ γράφει ὁ κριτικώτατος Φώτιος: «Τὴν δὲ φράσιν ταπεινός τε, καί, οἷα εἰκός, ἀττικῆς παιδείας ἀμελέτητον τυγχάνειν· ἀσθενὴς δὲ ἐκ τοῦ ἐπὶ πλεῖστον ἐν ταῖς κατὰ τῶν δυσσεβῶν αἱρέσεων συμπλοκαῖς· ἐνιαχοῦ μέν τοι ἀριστεύει ταῖς ἐπιβολαῖς, εἰ καὶ τῶν ῥημάτων αὐτῷ καὶ τῆς συντάξεως οὐδὲν τὸ ἰδίωμα συμβελτιοῦται» (4). Τὰ ἄριστα τῶν συγγραμμάτων τοῦ Ἐπιφανίου, ὁ Ἀγκυρωτὸς καὶ τὸ Πανάριον, ὡς ἐκ τῆς ὑποθέσεως, εἰσὶν ἱστορικοδογματικά. Τὰ δὲ ἄλλα συγγράμματα αὐτοῦ ἀναφέρονται περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς (5).

1.] Ὁ Ἀγκυρωτὸς ἀναγκαῖος, ἵνα μὴ οἱ πιστοὶ «περιφέρων-

(1) Ἴδ. αἵρ. 26.

(2) adv. Rufin. l. I.

(3) Κατὰ αἱρ. βιβλ. ά. §. 2. αἵρ. κς'. §. 18.—

(4) Βιβλιοθ. ἀνάγν. ρκβ'.

(5) Ἡ ἀρίστη τῶν ἐκδόσεων τῶν συγγραμμάτων τοῦ ἁγίου Ἐπιφανίου ἐστὶν ἡ τοῦ Πεταυΐου. S. Epiphan. Op. omnia Gr. et Lat. Paris. 1622. Colon. (Lips.) 1682. Ἡ λατινικὴ μετάφρασις οὐκ ἔστιν ἁπανταχοῦ ἀκριβής, ἀλλ' αἱ εἰς τὸ κείμενον μακραὶ σημειώσεις εἰσὶ πάνυ ὠφέλιμοι. Ἡ εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου βραχεῖα ἑρμηνεία ἐξεδόθη ὑπὸ Κομβεφισίου in tom. Auctor. nov. Paris. 1672.—

ται παντὶ ἀνέμῳ τῆς διδασκαλίας», περιέχει ἔκθεσιν τῆς διδασκαλίας περὶ τοῦ ὁμοουσίου τῶν θείων προσώπων [*] περὶ τῆς ἐνσαρκώσεως τοῦ Ἰησοῦ Χριστοῦ [α] περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, περὶ τῆς αἰωνίου ζωῆς καὶ περὶ τῆς κρίσεως, ἀνασκευὴν τῶν

---

[*] Ἐν τῷ ξζ΄. κεφαλαίῳ λέγει: «Πιστὴ δὲ ἡ καθόλου κηρύκων φωνὴ αὕτη σημαίνεται, ὡς ἔγωγε οἶμαι, κατηχούμενος ἐκ Γραφῶν· τρία ἅγια, τρία συνάγια· τρία ἔμμορφα, τρία σύμμορφα· τρία ἐνεργά, τρία συνεργά· τρία ἐνυπόστατα, τρία συνυπόστατα, ἀλλήλοις συνόντα· τριὰς αὕτη ἁγία καλεῖται, τρία ὄντα, μία συμφωνία, μία Θεότης τῆς αὐτῆς οὐσίας, τῆς αὐτῆς θεότητος, τῆς αὐτῆς ὑποστάσεως, ὅμοια ἐξ ὁμοίου, ἰσότητι χάριτος Πατρός, καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος». Περὶ τῆς παναγίας Τριάδος λέγει καὶ ἐν αἱρ. ή. κεφ. 5. «Ἐν μοναρχίᾳ ἡ Τριὰς ἀεὶ κατηγγέλλετο, καὶ ἐπιστεύετο παρ' αὐτοῖς τοῖς ἐξοχωτάτοις αὐτῶν, τουτέστι Προφήταις καὶ ἡγιασμένοις». Ἐν αἱρ. νζ΄. κεφ. 4. «Μίαν θεότητα οἶδεν ἡ Ἐκκλησία· εἷς Θεὸς ὁ τῆς ἀληθείας Πατήρ, Πατὴρ τέλειος, ἐνυπόστατος, Υἱὸς τέλειος, ἐνυπόστατος, καὶ ἅγιον Πνεῦμα τέλειον ἐνυπόστατον, μία θεότης, μία δεσποτεία, μία κυριότης· διὸ πάντη σαφῶς κεκηρύχασιν αἱ θεῖαι Γραφαὶ ἕνα Θεόν, τουτέστι Τριάδα ὁμοούσιον, ἀεὶ οὖσαν τῆς αὐτῆς ταυτότητος, τῆς αὐτῆς κυριότητος». Ἐν αἱρ. ξέ. κεφ. 3. «Καὶ γὰρ τῷ ὄντι καὶ αὐτοὶ οὐ δύο φαμὲν εἶναι θεούς, οὐδὲ θεότητας, ἀλλὰ μίαν θεότητα· ἐπειδὴ γὰρ οὔτε δύο λέγομεν Πατέρας οὔτε δύο Υἱούς, οὔτε δύο Πνεύματα ἅγια, ἀλλὰ Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα μίαν θεότητα, μίαν δοξολογίαν». Ἐν αἱρ. οδ΄. κεφ. 12. «Τριὰς οὖν οὕτως ἀριθμουμένη, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα· οὐ συναλοιφὴ δὲ ἡ Τριάς, οὐ διεστῶσα τῆς ἑαυτῆς μονάδος· ἐν ὑποστάσει δὲ τελειότητος, τέλειος ὁ Πατήρ, τέλειος ὁ Υἱός, τέλειον τὸ ἅγιον Πνεῦμα, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα». Σ. Μ.—

[α] Ἐν τῷ ιθ΄. κεφ. λέγει: «Αὐτὸς τοίνυν ὁ ἅγιος Λόγος, ὁ ζῶν ὁ ἐνυπόστατος, ὁ βασιλεὺς ὁ ἐπουράνιος, ὁ Υἱὸς ὁ γνήσιος, ὁ ἀεὶ σὺν Πατρί, ὁ ἐκ Πατρὸς Προελθών, τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως, ἡ εἰκὼν τοῦ Πατρὸς ἐν ἀληθείᾳ, ὁ σύνθρονος τοῦ φύσαντος, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, ὁ κριτὴς ζώντων καὶ νεκρῶν, ὁ σοφία ὢν ἐκ σοφίας, ἡ πηγὴ ὢν ἐκ πηγῆς . . . . ὁ ἄνθρωπος ἐν ἀληθείᾳ γεγονώς, καὶ Θεὸς ἐν ἀληθείᾳ ὑπάρχων, μὴ τραπεὶς τὴν φύσιν, μὴ ἀλλοιώσας τὴν θεότητα, ὁ γεννηθεὶς ἐν σαρκί, ὁ σαρκωθεὶς Λόγος, ὁ Λόγος σὰρξ γενόμενος». ἴδ. καὶ κεφ. ξ. σελ. 62. Περὶ

ἐνστάσεων τῶν Ἀρειανῶν, τῶν Πνευματομάχων, καὶ τοῦ Ἀπολλιναρίου, ἔλεγχον τοῦ ἐθνισμοῦ καὶ τοῦ ἰουδαϊσμοῦ, καὶ ἀπαρίθμησιν ὀγδοήκοντα αἱρέσεων.

2.] Τὸ Πανάριον ἐν τρισὶ βιβλίοις διῃρημένον, ὧν ἕκαστον ἐν ἑπτὰ ὑποδιαιρέσεσι, περιέχει τὴν ἱστορίαν καὶ ἀνασκευὴν τῶν αἱρέσεων, 20 προηγηθεισῶν τῆς Γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ καὶ 80 χριστιανικῶν. Αἱ πρῶται διαιροῦνται εἰς πέντε τάξεις, εἰς τὸν βαρβαρισμὸν (ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ Κατακλυσμοῦ), εἰς τὸν σκυθισμὸν (μέχρι τῆς Πυργοποιΐας καὶ τοῦ Φαλέκ), εἰς τὸν ἑλληνισμόν, τὸν ἰουδαϊσμόν, καὶ τὸν σαμαρειτισμόν. Ἡ ἐπιθεώρησις τῶν χριστιανικῶν αἱρέσεων κάτεισι μέχρι τῶν Μεσσαλιανῶν. Ἐν τῷ τελευταίῳ μέρει τοῦ τρίτου βιβλίου ἀπαριθμοῦνται αἱ αἱρέσεις τῆς ἑλληνικῆς καὶ ἀνατολικῆς φιλοσοφίας, ἔπειτα δὲ προτίθεται ἡ ἔκθεσις τῆς καθολικῆς πίστεως. Ἡ σπουδαιότης τούτων τῶν συγγραμμάτων ἄνευ κόπου δύναται ὁρισθῆναι διὰ τοῦ χαρακτῆρος τοῦ διδασκάλου Ἐπιφανίου:

α.] Τὰ συγγράμματα ταῦτα ἔσονται ἀείποτε τῇ ἱστορίᾳ τῶν αἱρέσεων πλουσία πηγὴ γνώσεων. Τοσοῦτον πολλαὶ ὑποθέσεις καὶ τοιαῦται μερικαὶ χαρακτηριστικαὶ ὑπογραφαὶ τῶν προσώπων καὶ τῶν κοινωνιῶν εὕρηνται ἐν αὐτοῖς, ὥστε δύναταί τις ὀνομάσαι αὐτὰ ποικίλον ταμεῖον.

β.] Τὸ Πανάριον καταλήγει «τῇ ἐκθέσει τῆς πίστεως τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας» (1). Ἡ ἔκθεσις αὕτη ἐστὶ πολύτιμον μνημεῖον τῆς ἀρχαιότητος. Πάνυ σπουδαῖαί εἰσιν αἱ εἰδήσεις, ἃς ὁ ζῆλος τοῦ Ἐπιφανίου πρὸς τὴν ὀρθοδοξίαν παρέχει περὶ τῆς ὀρθοδόξου Ἐκκλησίας. Ὁ ἅγιος Ἐπιφάνιος λέγει περὶ τῆς ἐνεργείας τοῦ σημείου τοῦ Σταυροῦ (2), περὶ τῆς πρὸς τοὺς ἁγίους τιμῆς (3), περὶ προσευχῆς ὑπὲρ τῶν κεκοιμημένων (4). Ἐν τῇ ἐκκλη-

τῆς θείας ἐνανθρωπήσεως ποιεῖται λόγον καὶ ἐν αἱρ. λ'. κεφ. 29. σελ. 154. κεφ. 27. σελ. 152 καὶ 153. αἱρ. οζ'. κεφ. 29. σελ. 1023. κεφ. 25. σελ. 1029. Σ. Μ.

(1) Ἡ ἔκθεσις τῆς πίστεως, ἐκ τοῦ τρίτου κατὰ αἱρέσ. βιβλίου ληφθεῖσα, ἐξεδόθη ἐν τῇ χριστιαν. Ἀναγν. τῷ 1842.

(2) Αἱρ. 30.

(3) Αἱρ 78. 79.

(4) Αἱρ. 75. 76. §. 78.

σιαστικῇ ἱεραρχίᾳ διακρίνονται παρ' αὐτῷ ἐπίσκοποι, πρεσβύτεροι, διάκονοι, ὑποδιάκονοι, καὶ ἀπαριθμοῦνται ἐν αὐτῇ οἱ ὑπηρέται τῆς Ἐκκλησίας, οἱ ἀναγνῶσται, αἱ διακόνισσαι, οἱ ἐξορκισταί, οἱ ἑρμηνευταί, οἱ ἐνταφιασταὶ καὶ οἱ θυρωροί (¹). Ὁ ἱερὸς Πατὴρ γράφει, ὅτι γίγνονται συναθροίσεις κατὰ τὴν τετάρτην, τὴν παρασκευὴν καὶ τὴν Κυριακήν· ὁμιλεῖ περὶ τῶν τελετῶν τοῦ ἁγίου Βαπτίσματος καὶ τῆς ἁγίας Εὐχαριστίας, περὶ τῶν ἑωθινῶν καὶ ἡμερινῶν προσευχῶν (²)· περιγράφει τὰς νηστείας τῆς Τεσσαρακοστῆς, τῆς Τετάρτης καὶ τῆς Παρασκευῆς (³).

γ.] Ἐπειδὴ ὁ Ἐπιφάνιος «πάντων τῶν πρὸ αὐτοῦ κατὰ αἱρέσεων καταβεβληκότων πόνους, πλατύτερός τε καὶ χρησιμώτερος, ὅτι ἅπερ τε ἐκείνοις ἐρρέθη, τὸ χρήσιμον ἔχοντα, οὐ παραλέλοιπε, καὶ εἴτι προσεξευρεῖν ἠδυνήθη, προσέθηκε» (⁴), διὰ τοῦτο ἀδύνατον εἰπεῖν, ὅτι τὸ ἀξιόπιστον τῶν εἰδήσεων αὐτοῦ ὑπάρχει ἄνευ ἐρείσματος. Ἀλλ' ἡ ἁπλοϊκότης αὐτοῦ παρασύρετο ὑπὸ τῶν φημῶν, ὁ δὲ ζῆλος ἐπέτρεπεν ὁμιλεῖν περὶ τῶν αἱρέσεων ὅ,τι ἀσύμφορον, καὶ ἔσθ' ὅτε ἄνευ ἀκριβοῦς ἐξετάσεως τούτου καὶ ἐκείνου. Ἐντεῦθεν εἰσέφρησαν εἰς τὰ συγγράμματα αὐτοῦ, τὸ μὲν χρονολογικὰ καὶ ἱστορικὰ σφάλματα, τὸ δέ, ἀπάται ἐν τῇ ἐκθέσει τῶν δοξασιῶν. Οὕτως ἐκτίθησι τὰ περιστατικὰ τοῦ θανάτου τοῦ Ἀρείου, ὡς συμβάντα πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου, ἐν ᾧ ὁ Ἄρειος ἀπέθανεν ἕνδεκα ἔτη μετὰ τὴν Σύνοδον (⁵). Ὁ δὲ Βασιλείδης καὶ ὁ Σατουρνῖνος ἦσαν, κατ' αὐτόν, σύγχρονοι τοῖς Ἀποστόλοις (⁶), κ.τ.λ.

3.] Ἡ Ἀ ν α κ ε φ α λ α ί ω σ ί ς ἐστιν ἐπιτομὴ τοῦ Π α ν α ρ ί ο υ, καὶ καταλήγει ὡσαύτως βραχείᾳ ἐκθέσει τῆς πίστεως.

Διὰ τὴν ἐξήγησιν τῆς ἁγίας Γραφῆς ἐγράφησαν ὑπὸ τοῦ ἁγίου Ἐπιφανίου τὰ ἑξῆς:

(¹) Αἵρ. 75 καὶ 59.
(²) Αἵρ. 75 καὶ 80.
(³) Αἵρ. 33, 75, 76 καὶ 80.
(⁴) Ἀνάγν. ρκβ'.
(⁵) Αἵρ. 69.
(⁶) Ἡ διήγησις αὐτοῦ περὶ τῆς ἐκ τῆς Ἀλεξανδρείας ἀναχωρήσεως τοῦ Ὠριγένους μεταδίδοται ὑπ' αὐτοῦ ὡς φήμη. Ἀλλ' ἡ φήμη αὕτη οὐ μόνον οὐδαμῶς δικαιολογεῖται, ἀλλ' ἐξέρχεται τῶν ὁρίων τοῦ πιθανοῦ. Ὁ Ρουφῖνος λίαν δριμέως ἀποφαίνεται περὶ αὐτοῦ. Lib. III. advers. Hieronymum.

1.] Τὸ βιβλίον περὶ μέτρων καὶ σταθμῶν, ἐν ᾧ ἑρμηνεύει τὰ ἐν τῇ ἁγίᾳ Γραφῇ μέτρα καὶ σταθμά, ποιεῖται λόγον περὶ τῶν ἑλληνικῶν μεταφράσεων τῆς Παλαιᾶς Διαθήκης, περὶ τῶν σημείων καὶ τῶν ἀπογράφων τῆς ἁγίας Γραφῆς, καὶ ἀπαριθμεῖ τὰ κανονικὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης. Τὸ σύγγραμμα τοῦτο δείκνυσιν, ὅτι ὁ Ἐπιφάνιος ἐγίγνωσκεν ἄριστα τὰς Ἰουδαϊκὰς Ἀρχαιότητας.

2.] Τὸ σύγγραμμα πρὸς Διόδωρον ἐπίσκοπον Τύρου περὶ τῶν 12 λίθων, τῶν ὄντων ἐν τοῖς στολισμοῖς τοῦ Ἀαρών. Ἐν τῷ συγγράμματι τούτῳ ἑρμηνεύει ὁ θεῖος Πατὴρ τὰ ὀνόματα, τὸ σχῆμα, καὶ τὰς ἰδιότητας τῶν δώδεκα πολυτίμων λίθων, τῶν ἐπὶ τοῦ Λογείου τοῦ Ἀρχιερέως τῶν Ἰουδαίων. Τὸ σύγγραμμα τοῦτο ἦν γνωστὸν τῷ Ἱερωνύμῳ (1).

3.] Ὁ Φυσιολόγος, ὅστις ἐστὶ συλλογὴ παρατηρήσεων περὶ τῶν ἐν τῇ ἁγίᾳ Γραφῇ ἀπαντώντων ζώων μετὰ μυστικῶν καὶ ἠθικῶν σημειώσεων. Τοῦ συγγράμματος τούτου ἀνήκουσιν εἰς τὸν Ἐπιφάνιον μόνον αἱ σημειώσεις, αὐταὶ δὲ αἱ παρατηρήσεις ἦσαν γνωσταὶ ἔτι τῷ Ὠριγένει (2), μετέβησαν δὲ καὶ εἰς τὸν Σύρον Φυσιολόγον ἀγνώστου ἀρχαίας γραφῆς (3).

4.] Τὸ βιβλίον περὶ τῶν εἰκοσιδύο προφητῶν τῆς Παλαιᾶς Διαθήκης καὶ τῶν τριῶν τῆς Καινῆς, καὶ τὸ περὶ τῶν δώδεκα Ἀποστόλων καὶ τῶν ἑβδομήκοντα μαθητῶν. Τὰ δύο ταῦτα βιβλία ἀποδίδονται τῷ Ἐπιφανίῳ ὑπὸ ἀπογράφων τοῦ ὀγδόου καὶ τῶν μετὰ ταῦτα αἰώνων, καὶ ὑπὸ ἀποφάνσεων συγγραφέων τοῦ μεσαιῶνος.

---

(1) Hieron. epist. CXXVIII ad Fabiolam: « Sufficiat, quod et sanctus Papa Epiphanius egregium super hoc (de gemmis duodecim) volumen edidit, quod si legere volueris, plenissimam scientiam consequeris. » Ἐξεδόθη μόνον ἡ ἐπιτομὴ τοῦ συγγράμματος τούτου. Πλῆρες τὸ σύγγραμμα διασωθὲν ἐν ἀρχαίᾳ λατινικῇ μεταφράσει, ἐξεδόθη ὑπὸ Φογγίνου: Epiphanii *de gemmis* liber ad Diodorum, ed Romæ, 1743.

(2) Τ. 17 εἰς τὸ 49 κεφ. τῆς Γενέσεως.

(3) Physiologns Syrus. S. Historia animalium 32, in S. Litteris memoratorum. Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἐπιφανίου μετεφράσθη ὁ Φυσιολόγος εἰς τὴν ἀρμενικὴν γλῶσσαν ἐν τῷ πέμπτῳ αἰῶνι (Neumann Gesch. d. Arm. Litter. 84).—

Ἀμφότεραι αἱ διηγήσεις ἐλήφθησαν ἐκ τῶν διηγήσεων Δωροθέου τοῦ Τύρου μετά τινων μόνον μεταβολῶν ἐν τῇ ὑποθέσει καὶ τῇ λέξει. Ἀμφότεραι δὲ περιέχουσιν εἰδήσεις μόνον προφορικῆς παραδόσεως(¹).

5.] Βραχεῖα ἑρμηνεία εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου(²). Τὸ σύγγραμμα τοῦτο οὐκ ἀνήκει εἰς τὸν ἅγιον Ἐπιφάνιον, διότι τοιούτου πονήματος οὐδεὶς τῶν ἀρχαίων μνημονεύει. Ἡ δ' ἑρμηνεία εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ἡ ἀποδιδομένη κατά τινα χειρόγραφα τῷ ἁγίῳ Ἐπιφανίῳ, ἀνήκει εἰς Φίλωνα τὸν Ἐπίσκοπον Καρπάσου, μαθητὴν καὶ συνεργάτην τοῦ ἁγίου Ἐπιφανίου (³).

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἐπιφανίου εἰσὶ γνωσταὶ ἔτι ὀκτὼ ὁμιλίαι, ὧν ἡ γνησιότης ἀμφιβάλλεται. Ἀλλ' ὅμως ἐν τῇ ἀρμενικῇ καὶ συριακῇ μεταφράσει εἰσὶ γνωσταὶ πλείονες ὁμιλίαι, ἢ ἐν τῇ ἑλληνικῇ γλώσσῃ (⁴).—

(¹) *Delitzsch.* de Habacuci Prophetæ vita cum Diatriba de Dorothei et Epiphanii vitis prophetarum Lipsiæ, 1842.

(²) Μέρος τῆς ἑρμηνείας ταύτης ἐξεδόθη ὑπὸ Κομβεφισίου in I. tom. auctor. novis. pag. 300.

(³) Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἐπιφανίου ἐξεδόθη ὑπὸ Φογγίνου ἐν Ρώμῃ τῷ 1750· ὑπὸ τὸ ὄνομα τοῦ Φίλωνος ὑπὸ Κιακονίου ἐν Ρώμῃ τῷ 1792. Ἐν τῇ συλλογῇ τῶν ἑρμηνειῶν Προκοπίου τοῦ Γαζαίου, ἀκμάσ. κατὰ τὸν ε΄. αἰῶνα, ἀποδίδοται τῷ Φίλωνι (Maii class. Auct. T. IX).—

(⁴) Ἐν τῇ ἀρμενικῇ μεταφράσει τοῦ πέμπτου αἰῶνος ἐκτὸς τῶν δύο ὁμιλιῶν, τῶν ἐν τῇ ἑλληνικῇ γλώσσῃ γνωστῶν, δηλ. τοῦ ἐγκωμίου εἰς τὴν ἁγίαν Θεοτόκον, καὶ τῆς εἰς τὴν Θεόσωμον ταφήν, εἰσὶ γνωσταὶ αἱ ἑξῆς ὁμιλίαι τοῦ ἁγ. Ἐπιφανίου: α΄.] εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἀνάστασιν· β΄.] ἡ δευτέρα ὁμιλία εἰς τὴν ταφὴν τοῦ Σωτῆρος· γ΄.] ἡ ὁμιλία εἰς τὸν Σταυρόν· δ΄.] ἡ ὁμιλία εἰς τὴν ἑορτὴν τῆς Ὑψώσεως τοῦ Σταυροῦ (Neumann. Gesch. d. armen. Litter. S. 83). Περὶ τῆς συρ. μεταφρ. ἴδ. Asseman. B. O. T. III. P. I. pag. 43. Ὑπὸ τοῦ Πεταυΐου ἐξεδόθησαν αἱ ὁμιλίαι: εἰς τὰ Βάϊα (2 ὁμιλ.), εἰς τὴν Θεόσωμον ταφήν, εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἀνάστασιν (2 ὁμιλ.), εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐγκώμιον εἰς τὴν ἁγίαν Θεοτόκον, περὶ πίστεως καὶ τῆς ἁγίας Τριάδος. Ὁ Κομβεφίσιος οὐκ ἀμφιβάλλει, ὅτι ἡ πρώτη ὁμιλία εἰς τὸ Πάσχα, ὡς ἐκ τῆς ὑποθέσεως, αὐτῆς ἁρμόζει εἰς τὸν χρόνον τοῦ Ἐπιφανίου (Biblioth. Concionatoria).—

§. 167. Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος.
Βίος αὐτοῦ μέχρι τῆς εἰς πρεσβύτερον προχειρίσεως αὐτοῦ.

Ὁ σύγχρονος τῷ ἁγίῳ Ἐπιφανίῳ, ἅγιος Ἰωάννης ὁ Χρυσόστομός, ἐστιν οὕτω μέγας διὰ τὴν ἔκτακτον αὐτοῦ ἐνεργητικότητα, ὥστε ἐργώδης καθίσταται ἡ ἐξέτασις τοῦ τε βίου καὶ τῶν συγγραμμάτων τοῦ οἰκουμενικοῦ τούτου διδασκάλου (¹).

Γεννηθεὶς περὶ τὸ 347 ἐν Ἀντιοχείᾳ [α], κομιδῇ νέος, ἐστερήθη τοῦ πατρὸς αὐτοῦ, ὄντος ἀρχηγέτου τοῦ ἐν Συρίᾳ στρατοῦ (²). Ἡ μήτηρ, εἰκοσαέτις χήρα (³), εὐσεβὴς καὶ συνετή, ἔστρεψεν ἅπασαν τὴν ἀγάπην αὐτῆς καὶ προσοχὴν εἰς τὴν ἀνατροφὴν τοῦ υἱοῦ. Ἔτρεφε καὶ ἀνέπτυσσε τὴν νέαν αὐτοῦ ψυχὴν τῷ λόγῳ τοῦ Θεοῦ. Ἔπειτα ὁ Ἰωάννης ἠκροάσατο τοῦ περιφήμου τότε διδασκάλου τῆς ῥητορικῆς Λιβανίου (⁴), ἀείποτε διατελῶν ὑπὸ τὴν κηδεμονίαν τῆς μητρικῆς ἀγάπης.

(¹) Ὁ βίος τοῦ ἁγ. Ἰωάν. τοῦ Χρυσοστόμου ἐγράφη μετὰ ζωηρότητος μέν, ἀλλ' ἐν πολλοῖς οὐ μετὰ μεγάλης ἀκριβείας ἐν τῇ χριστ. Ἀναγν. τῷ 1821. ἀριθ. 4. τελειότερον: D. heil. Joh. Chrysost. und. Kirche besonders Orient. in dessen Zeit von *Neander*. 1. Band. 1821. 2. Band. 1822. Berlin· ἀλλ' οὐκ ἐν ἐκείνῃ τῇ σχέσει, ἥτις ἀναγκαία ἐνταῦθα.

[α] Ἡ Ἀντιόχεια ἦν μία τῶν τεσσάρων μεγάλων πόλεων τῆς ῥωμαϊκῆς αὐτοκρατορίας, κατωτέρα μόνον τῆς ἀρχαίας καὶ νέας Ῥώμης, καὶ ἴση τῇ Ἀλεξανδρείᾳ. Σ. Μ.

(²) Magister militum Orientis.

(³) Ὅτε ὁ Λιβάνιος ἠρώτησε τὸν Ἰωάννην περὶ τῆς μητρὸς αὐτοῦ καὶ ἔμαθεν, ὅτι ἐτῶν τεσσαράκοντα γεγονυῖα εἴκοσι ἔχει λοιποῦ, ἐξ οὗ τὸν σύζυγον αὐτῆς ἀπέβαλεν, ἐκπλαγεὶς ἀνεβόησε: «Βαβαί, οἷαι παρὰ χριστιανοῖς γυναῖκές εἰσι». Χρυσόστ. εἰς νεωτέραν χηρεύσασαν. Τ. Α. σελ. 340. πρβλ. Ὁμιλ. κατὰ Ἀνομ. Τ. Α. σελ. 541. Ἡ εὐσεβὴς Ἀνθοῦσα ἔμεινε μέχρι τοῦ τάφου χήρα. Σωκρ. ϛ΄. 3. Γεώργ. ὁ Ἀλεξ. (ἐν β. Χρυσ.) οὐκ ὀρθῶς λέγει, ὅτι οἱ γονεῖς ἐβαπτίσθησαν ἤδη μετὰ τὸν υἱόν. Ὁ Χρυσόστομος σαφῶς λέγει, ὅτι ἐγεννήθη καὶ ἀνετράφη ἐν τῇ Ἐκκλησίᾳ. (Κατὰ Ἀνομ. Ά. 541.)

(⁴) Σωζόμ. ή. 2. Θεοδώρ. γ΄. 23. [Ἡ ῥητορεία ἦν τότε ἐν μεγίστῃ τιμῇ. Ἐν ἁπάσαις ταῖς μεγάλαις πόλεσιν ἦσαν διδάσκαλοι διδάσκοντες αὐτήν, καὶ αἱ σχολαὶ αὐτῶν, πλήρεις οὖσαι τῶν ἐπὶ εὐγενείᾳ καὶ πλούτῳ διαπρεπόντων νέων, ἦσαν ἡ θύρα ἡ εἰς τὰς τιμὰς ἄγουσα. Ὁ Λιβάνιος, γεννηθεὶς ἐν Ἀντιοχείᾳ, ἐδίδασκεν ἐν

Ἡ ἐπίδοσις τοῦ προσφιλοῦς υἱοῦ εἰς τὴν ῥητορικὴν ἦν τηλικαύτη, ὥστε ἐξέπληξε τὸν Λιβάνιον, ὅστις προώρισε τῷ μαθητῇ λαμπρὸν ἐν τῷ κόσμῳ μέλλον (1). Κατὰ τὸν αὐτὸν χρόνον ἐδιδάχθη ὁ Ἰωάννης τὴν φιλοσοφίαν ὑπὸ τοῦ Ἀνδραγαθίου (2). Περάνας τὴν δημοσίαν ἐκπαίδευσιν, ἤρξατο φοιτᾷν εἰς τὰ δικαστήρια, καὶ ἔλαβε τὴν κλῆσιν τοῦ συνηγόρου (3). Ἡ κλῆσις αὕτη ἠδύνατο εἶναι ἐπικίνδυνος νέῳ πλουσίῳ καὶ πεπαιδευμένῳ. Ὁ Ἰωάννης πρὸς τέρψιν ἄλλων ἐφοίτα εἰς τὸ θέατρον καὶ μετεῖχε τῶν θυμηδιῶν τοῦ κόσμου (4). Ἡ θεία χάρις ταχέως ἐδήλωσεν αὐτῷ τὸ ἐπικίνδυνον τῆς θέσεως αὐτοῦ, διὸ καὶ ἔγνω ἀμελλητὶ θραῦσαι πάντας τοὺς μετὰ τοῦ κόσμου δεσμούς, καὶ ὁ κόσμος ἀπέστη αὐτοῦ (5). Ὁ ποιμὴν τῆς Ἀντιοχείας, ὁ ἅγιος Μελέτιος, ἐγνώρισε καὶ ἠγάπησε τὸν Ἰωάννην, ὡς υἱόν· ἀνεδέξατο κατηχῆσαι αὐτὸν καὶ ἐβάπτισεν αὐτόν. Ὁ Ἰωάννης διήρχετο ἅπαντα τὸν χρόνον τοῦτον προσευχόμενος, ἀναγιγνώσκων τὴν ἁγίαν Γραφήν, καὶ δοκιμάζων τὴν καρδίαν αὐτοῦ. Τρία ἔτη μετὰ τὸ βάπτισμα (τῷ 370) ἐγένετο ἀναγνώστης (6). Ἐν τῇ ἀρχῇ τοῦ 372 ὁ μακάριος Μελέτιος ἐξωρίσθη ὑπὸ τοῦ Οὐάλεντος (7). Τῷ δὲ ὀρθοδόξῳ ποιμνίῳ τῆς Ἀντιοχείας ἔμειναν διδάσκαλοι οἱ ἱερεῖς

ταύτῃ τῇ πόλει· ἦν διαπρεπὴς σοφιστής. Ἐθεωρεῖτο ὁ ἐπιφανέστατος τῶν συγχρόνων αὐτῷ ῥητόρων· ἀλλ' ἦν μέχρι φανατισμοῦ ἐθνικός. Ὅτε ὁ Ἰωάννης ἐγένετο ἀκουστὴς αὐτοῦ, ἦγε τὸ δέκατον ὄγδοον τῆς ἡλικίας αὐτοῦ ἔτος (τῷ 365) Σ. Μ.].

(1) Ἡ ἐπιστολὴ τοῦ Λιβανίου εὕρηται παρὰ τῷ ἁγίῳ Ἰσιδ. τῷ Πηλουσιώτῃ, βιβλ. Β'. ἐπ. 42).—

(2) Σωκρ. ς'. 3.

(3) Σωκρ. ς'. 3. Σωζόμ. ή. 2.

(4) Χρυσόστ. περὶ Ἱερωσ. λόγ. Α'. κεφ. 1.

(5) Σωκρ. καὶ Σωζόμ. ἔνθ. ἀνωτ. Παλλάδ. ἐν τῷ διαλ. περὶ τοῦ βίου τοῦ Χρυσοστ. §. 5. apud Montfaucon. T. 13.

(6) Παλλάδ. ἔνθα ἀνωτ. §. 5. Σωκρ. αὐτόθ. ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς λέγει, ὅτι ἐγένετο ἀναγνώστης τὸ λ'. σχεδὸν ἔτος ἄγων. Ὁ Σωκράτης καὶ Γεωργ. ὁ Ἀλεξ. (παρὰ Φωτ. ἀνάγν. 96) γράφουσιν, ὅτι κατέστησε τὸν Χρυσόστομον ἀναγνώστην «Ζήνων ὁ ἐπίσκοπος ἐκ τῶν Ἱεροσολύμων ὑποστρέφων». Ὁ Ζήνων ἀφίκετο πιθανῶς εἰς Ἀντιόχειαν ἕνεκα τῶν συμφορῶν τοῦ Μελετίου (σημ. 11).—

(7) Βασίλ. ὁ Μ. ἐπ. πβ'. καὶ ξή. Θεοδώρ. δ'. 22—25.—

Φλαβιανὸς καὶ Διόδωρος, ἀσχολούμενοι ἐν τῷ ἀσκητηρίῳ περὶ τὴν ἐκπαίδευσιν τῶν νέων. Ὁ Διόδωρος πολυμαθέστατος ὢν καὶ θερμὸν ἔχων πρὸς τὴν εὐαγγελικὴν ἀλήθειαν ζῆλον, μετέβαινε καθ' ἑκάστην ἀπὸ οἰκίας εἰς οἰκίαν, ἵνα παραμυθῆται καὶ ἐνισχύῃ τὰ ἀπορφανισθέντα τέκνα τῆς ὀρθοδοξίας, καὶ ἔζη μετ' αὐταπαρνήσεως (1). Ὁ Ἰωάννης, καὶ πρότερον ἀκροασάμενος τοῦ Διοδώρου, ἀπετάθη ἤδη πρὸς αὐτὸν μόνον μετὰ τῶν φίλων αὐτοῦ καί ποτε συμμαθητῶν Θεοδώρου, Μαξίμου καὶ Βασιλείου, ἵνα ἀκροάσηται τῶν διδασκαλιῶν αὐτοῦ ἐν τῇ ἑρμηνείᾳ τῆς ἁγίας Γραφῆς. Οἱ φίλοι ἔγνωσαν ἀσπάσασθαι τὸν ἐρημικὸν βίον· ὁ μὲν Ἰωάννης ἐξεπλήρωσε τὴν ἐπιθυμίαν αὐτοῦ, θανούσης τῆς προσφιλοῦς αὐτῷ μητρός [*]· ὁ δὲ Θεό-

(1) Σωκρ. καὶ Σωζόμ. αὐτόθ. Θεοδώρ. αὐτόθ. Οὕτω περιγράφει τὸν διδάσκαλον αὐτοῦ Διόδωρον καὶ αὐτὸς ὁ Χρυσόστομος ἐν τῷ ἐγκωμ. λόγῳ, ὃν ἐξεφώνησε παρόντος ἐκείνου, ἱερεὺς ὤν. Τ. 3. σ. 746—750.—

[*] Ἄριστος τῶν φίλων τοῦ θείου Χρυσοστόμου ἐγένετο ὁ Βασίλειος, ὁ μετὰ ταῦτα Ἐπίσκοπος τῆς ἐν Συρίᾳ Ραφανείας. Ἀμφότεροι, στενωτάτῃ φιλίᾳ συνδεδεμένοι, ἀνεκοινοῦντο ἀλλήλοις τὰς σκέψεις αὐτῶν, τὰ αἰσθήματα καὶ τοὺς πόθους· ἐσπούδαζον περὶ τὴν ἀληθῆ φιλοσοφίαν· πολλάκις διελέγοντο περὶ τῶν θείων, περὶ τῶν κινδύνων τοῦ κόσμου, περὶ τῆς ματαιότητος ἐκείνου, ὅπερ οἱ ἄνθρωποι καλοῦσι πλοῦτον καὶ μεγαλεῖον, καὶ πρὸ πάντων περὶ τῆς εὐτυχίας τῶν τὸν μοναστικὸν βίον βιούντων. Αἱ καρδίαι αὐτῶν ἐφλέγοντο ὑπὸ τοῦ θείου ἔρωτος ἀμοιβαίως, καὶ ἔγνωσαν ἀπελθεῖν ὁμοῦ εἰς τὴν ἔρημον. Ἡ πρόθεσις αὕτη οὐκ ἐξεπληρώθη μέν, ἀλλ' ἔδωκε χώραν θαυμασίᾳ σκηνῇ, ἐν ᾗ ἡ Ἀνθοῦσα ἐχρήσατο ἁπάσῃ τῇ μητρικῇ αὐτῆς τρυφερότητι, ἣν αὐτὸς ὁ υἱὸς αὐτῆς διηγεῖται. Οὐδέποτε, λέγει ὁ περιώνυμος Villemain, ἡ εὐγλωττία αὐτοῦ ὑπερέβαλε τὴν πειστικὴν καὶ τρυφερὰν γλῶσσαν τῆς εὐσεβοῦς ταύτης γυναικός, μᾶλλον μητρὸς ἢ χριστιανῆς, καὶ τὸ παράδειγμα τοῦτο δύναται δοῦναι τὴν ἰδέαν τοῦ ἀνταγωνισμοῦ τῆς θρησκείας καὶ τῶν φυσικῶν αἰσθημάτων, ὃς πολλάκις ἐτάραττε τοὺς οἴκους τῆς πρώτης Ἐκκλησίας. «Ἐπεὶ γὰρ ᾔσθετο (ἡ μήτηρ) ταῦτα βουλευόμενον, λέγει ὁ Χριστιανὸς Ἀπόστολος, λαβοῦσά με τῆς δεξιᾶς εἰσήγαγεν εἰς τὸν ἀποτεταγμένον οἶκον αὐτῇ, καὶ καθίσασα πλησίον ἐπὶ τῆς εὐνῆς, ἧς ἡμᾶς ὤδινεν, πηγάς τε ἠφίει δακρύων, καὶ τῶν δακρύων ἐλεεινότερα προσετίθει τὰ ῥήματα, τοιαῦτα πρὸς ἡμᾶς ἀποδυρομένη· ἐγὼ παιδίον, φησί, τῆς ἀρετῆς τοῦ πα-

δωρος, μετά τινα χρόνον, ἔγνω λαβεῖν γυναῖκα, ἐφ᾽ ᾧ καταλυπηθεὶς ὁ Χρυσόστομος, ἔγραψεν αὐτῷ ἰσχυρὰς παραινέσεις ἀγαγούσας

πρός . . . . . » Οὐδέν, λέγει ὁ αὐτὸς Villemain, ἐν τῇ διηγήσει τοῦ Χρυσοστόμου δύναται παραβληθῆναι πρὸς τὸν ἀφελῆ θρῆνον ταύτης τῆς περιαλγοῦς μητρός. Ἐκθεῖσα τὰς στενοχωρίας, τὰς λύπας, τοὺς κινδύνους νέας γυναικὸς καταλειφθείσης χήρας ἐν τῷ μέσῳ τοῦ κόσμου, ἐν τῇ ἀσθενείᾳ τῆς ἡλικίας αὐτῆς καὶ τοῦ γένους, λέγει: «ἔφερε δέ μοι παραμυθίαν οὐ μικρὰν τῶν δεινῶν ἐκείνων καὶ τὸ συνεχῶς τὴν σὴν ὄψιν ὁρᾷν, καὶ εἰκόνα μοι τοῦ τετελευτηκότος φυλάσσεσθαι ἔμψυχον, καὶ πρὸς ἐκεῖνον ἀπηκριβωμένην καλῶς. Διά τοι τοῦτο καὶ ἔτι νήπιος ὤν, καὶ μηδὲ φθέγγεσθαί πω μαθών, ὅτε μάλιστα τέρπουσι τοὺς τεκόντας οἱ παῖδες, πολλήν μοι παρεῖχες τὴν παράκλησιν . . . . Ἀλλ᾽ ἀντὶ πάντων σε τούτων μίαν αἰτῶ χάριν, μή με δευτέρᾳ χηρείᾳ περιβαλεῖν, μηδὲ τὸ κοιμηθὲν ἤδη πένθος ἀνάψαι πάλιν, ἀλλὰ περίμεινον τὴν ἐμὴν τελευτήν· ἴσως μετὰ μικρὸν ἀπελεύσομαι χρόνον. Τοὺς μὲν γὰρ νέους ἐλπὶς καὶ εἰς γῆρας ἥξειν μακρόν, οἱ δὲ γεγηρακότες ἡμεῖς, οὐδὲν ἕτερον ἢ τὸν θάνατον ἀναμένομεν. Ὅταν οὖν με τῇ γῇ παραδῷς, καὶ τοῖς ὀστέοις τοῦ πατρὸς ἀναμίξῃς τοῦ σοῦ, στέλλου μακρὰς ἀποδημίας, καὶ πλέε θάλατταν ἣν ἂν ἐθέλῃς· τότε ὁ κωλύσων οὐδείς· ἕως δ᾽ ἂν ἐμπνέωμεν, ἀνάσχου τὴν μεθ᾽ ἡμῶν οἴκησιν· μὴ δὴ προσκρούσῃς τῷ Θεῷ μάτην καὶ εἰκῇ τοσούτοις ἡμᾶς περιβάλλων κακοῖς, ἠδικηκότας οὐδέν. Εἰ μὲν γὰρ ἔχεις ἐγκαλεῖν, ὅτι σε εἰς βιωτικὰς περιέλκω φροντίδας, καὶ τῶν πραγμάτων ἀναγκάζω προστῆναι τῶν σῶν, μὴ τοὺς τῆς φύσεως νόμους, μὴ τὴν ἀνατροφήν, μὴ τὴν συνήθειαν, μηδὲ ἄλλο μηδὲν αἰδεσθῇς, ἀλλ᾽ ὡς ἐπιβούλους φεῦγε καὶ πολεμίους· εἰ δὲ ἅπαντα πράττομεν ὑπὲρ τοῦ πολλήν σοι παρασκευάσαι σχολὴν εἰς τὴν τοῦ βίου τούτου πορείαν, εἰ καὶ μηδὲν ἕτερον, οὗτος γοῦν κατεχέτω σε παρ᾽ ἡμῖν ὁ δεσμός. Κἂν γὰρ μυρίους σε λέγῃς φιλεῖν, οὐδείς σοι παρέξει τοσαύτης ἀπολαῦσαι ἐλευθερίας, ἐπειδὴ μηδέ ἐστι τις, ὅτῳ μέλει τῆς σῆς εὐδοκιμήσεως ἐξ ἴσης ἐμοί.» Οἷος φθόγγος λέγει ὁ πολὺς Villemain, λύπης καὶ ἀληθείας! Ἐστὶν ἡ ἁπλότης τοῦ Ὁμήρου, ἢ μᾶλλον ἡ τῆς φύσεως. Ὁ χριστιανικὸς νόμος, ὅστις ἐφαίνετο ἀντιστρατευόμενος πρὸς τὰ συναισθήματα τῆς καρδίας, ἀπεδίδω αὐτοῖς ἁγιώτερόν τι καὶ ἁγνότερον. Ἅπαν τὸ ἀπόρρητον τῆς καρδίας μιᾶς μητρός ἐστιν ἐν ταύτῃ τῇ οὕτω ταπεινῇ καὶ ζωηρᾷ δεήσει, ἵνα μὴ θυσιασθῇ ὑπὸ τοῦ υἱοῦ μηδ᾽ αὐτῆς τῆς θρησκείας χάριν (Tableau de l' éloquence Chet. au IV siècle p. 146, 147.). Σ. Μ.—

αὐτὸν εἰς τὴν πρώτην αὐτοῦ κατάστασιν (1). Ὁ Χρυσόστομος καὶ ὁ Βασίλειος ἔμελλον χειροτονηθῆναι ἐπίσκοποι· ἀλλ᾽ ὁ μὲν Χρυσόστομος λάθρα ἐκρύβη ἐν τῇ ἐρήμῳ, ὁ δὲ Βασίλειος ἐχειροτονήθη καὶ πικρῶς ἐπεμέμφετο τοῦ καταλιπόντος αὐτὸν φίλου(2). Ὁ Χρυσόστομος ἔγραψε πρὸς παρηγορίαν τοῦ φίλου τὸ θαυμαστὸν σύγγραμμα περὶ Ἱερωσύνης(3). Τέσσαρα ἔτη διῆλθε παρὰ τοῖς ὀρεινοῖς ἐρημίταις ὑπὸ τὴν ὁδηγίαν γέροντός τινος, καὶ δύο ἕτερα μόνος ἐν ἀγρίῳ σπηλαίῳ(4). Καθαίρων τὴν καρδίαν αὐτοῦ διὰ τῶν ἀγώνων τῆς αὐταπαρνήσεως, ἔμαθεν ἐκ πείρας τὸ ἔξοχον τοῦ ἐρημικοῦ βίου· ἀλλ᾽ ὁ κόσμος καὶ τότε, ὥσπερ νῦν, ἔψεγε καὶ δὴ καὶ κατεδίωκε τοὺς ἀναχωρητάς, θλιβόμενος ἐπὶ τῷ ὅτι, οὗτοι ἀφῄρουν τοὺς ὑπηρέτας αὐτοῦ, καὶ ἀνέτρεφον ἀνθρώπους κρείττονας ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων. Ὁ Χρυσόστομος ἔγραψε τρία βιβλία πρὸς τοὺς πολεμοῦντας τοῖς ἐπὶ τὸ μονάζειν εἰσάγουσι(5), καὶ κατόπιν ἔγραψεν ἕτερον σύγγραμμα, πλῆρες ζωηρότητος: Σύγκρισιν βασιλικῆς δυναστείας, καὶ πλούτου, καὶ ὑπεροχῆς, πρὸς μοναχὸν συζῶντα τῇ ἀληθεστάτῃ καὶ κατὰ

(1) Ὁ Σωζόμενος λέγει περὶ τῆς παραινέσεως πρὸς τὸν Θεόδωρον: «. . . ἐκράτει γὰρ ταύτῃ (τῇ πειθοῖ) καὶ τῶν ὁμοίως λέγειν καὶ πείθειν δυναμένων». Ὁ Λεόντιος (περὶ αἱρέσ. T. 6. Bibl. Patr. ed Colon. p. 476) καὶ Ἰσίδωρος ὁ Ἱσπάλεως (de script. eccles. c. 6.) ποιοῦνται λόγον περὶ τῶν δύο παραινετικῶν λόγων εἰς Θεόδωρ. (Χρυσ. Τ. 1.). Ὁ Θεόδωρος ἐγένετο μετὰ ταῦτα ἐπίσκοπος Μοψουεστίας, ὁ δὲ Μάξιμος Σελευκείας τῆς Ἰσαύρων (Γεώργ. παρὰ Φωτ. ἀνάγν. 99).

(2) Ὁ Βασίλειος ἐπίσκοπος Ῥαφανείας ὑπέγραψε τὰ πρακτικὰ τῆς Β΄. ἁγίας καὶ Οἰκουμεν. Συνόδου (τῷ 381) Labbac. T. II. concil. p. 965.

(3) Χρυσόστ. περὶ ἱερωσ. Παλλάδ. σελ. 41.

(4) Παλλάδ. σελ. 41. Λαυσ. ιδ΄. 7. σελ. 902—1024. Ἐν τῇ ἐρήμῳ διετέλει ἀσχολούμενος περὶ τὴν ἁγίαν Γραφὴν ὑπὸ τὴν ὁδηγίαν τοῦ Διοδώρου (Σωκρ. έ. 3. Σωζόμ. η΄. 2), τὴν δὲ φιλοσοφίαν, δηλ. τὴν κατὰ Χριστὸν θεωρητικὴν ζωήν, ἐδιδάχθη ὑπὸ τοῦ Καρτερίου.

(5) Τ. Ά. σ. 44-115. Τὸ δεύτερον βιβλίον ἐπιγράφεται: πρὸς ἄπιστον πατέρα· τὸ δὲ τρίτον πρὸς πιστὸν πατέρα. Τὸ πρῶτον ἐγράφη ἰδίως ἕνεκα τοῦ διατάγματος τοῦ Οὐάλεντος κατὰ τῶν μοναχῶν, ἐκδοθέντος τῷ 375. Hieron. Chron. Orosii Hist. XVII. 33.

Χριστὸν φιλοσοφίᾳ (1). Μετ' ἐνθουσιασμοῦ ἀπεφαίνετο καὶ μετὰ ταῦτα περὶ τῶν ἐρημιτῶν τῶν οἰκησάντων τὰ περὶ τὴν Ἀντιόχειαν ὄρη (2). Οἱ αὐστηροὶ ἀγῶνες, οἷς ὑπέβαλλεν ἑαυτόν—ἰδίως ἐν τῷ σπηλαίῳ, ἔβλαψαν τὴν ὑγείαν αὐτοῦ, καὶ πρὸς ἀνάρρωσιν ἐπανῆλθεν εἰς Ἀντιόχειαν (3). Ὁ ἅγιος Μελέτιος τότε (ἐν τῇ ἀρχῇ τοῦ 381) ἐχειροτόνησεν αὐτὸν Διάκονον. Ἡ εἴδησις περὶ τῆς σωματικῆς καὶ ψυχικῆς ἀσθενείας τοῦ νέου φίλου τῆς ἐρήμου Σταγειρίου κατελύπησεν αὐτόν. Καί περ δὲ μὴ ὢν ὑγιής, ἔσπευσεν ὅμως δοῦναι τῇ ἀσθενούσῃ ψυχῇ τοῦ Σταγειρίου φάρμακον, τὸ σύγγραμμα περὶ Προνοίας (4). Κατὰ τὸν αὐτὸν χρόνον ἔγραψε τὸ μακρὸν σύγγραμμα περὶ Παρθενίας καὶ τοὺς παραμυθητικοὺς λόγους εἰς νεωτέραν χηρεύουσαν (5), κατὰ Ἰουλιανοῦ (6) καὶ τὰ δύο βιβλία περὶ κατανύξεως.

Ἅπαντα ταῦτα τὰ συγγράμματα ἐγράφησαν ὑπὸ τοῦ Χρυσοστόμου, Διακόνου ἔτι ὄντος. Τοῦτο δὲ τὸ ἀξίωμα εἶχεν ἐπὶ πέντε ἔτη (7).

(1) Τ. Α. σελ. 116.

(2) Ἴδ. Ὁμιλ. εἰς Ματθ. οβ'. καὶ ξζ'. ὁμιλ. ιδ'. εἰς τὴν πρὸς Τιμόθ. ἐπιστολ.

(3) Παλλάδ. αὐτόθ.

(4) Τ. Α. σελ. 154—227. Ὁ Σωκρ. (ς'. 3) λέγει, ὅτι τὸ σύγγραμμα τοῦτο ἐγράφη ὑπὸ τοῦ Χρυσοστόμου, διακόνου ὄντος. Αὐτὸς ὁ Χρυσόστομος γράφει: «Ἔδει μὲν ἡμᾶς, ὦ φίλτατε πάντων ἐμοὶ Σταγείριε, καὶ παρεῖναί σοι νῦν καὶ συνδιαταλαιπωρεῖσθαι . . . ἐπειδὴ δὲ ἡ τοῦ σώματος ἀσθένεια καὶ τὸ κατασκῆψαν τῇ κεφαλῇ κακὸν οἴκοι μένειν καταναγκάσαν ...» Τοῦτο δείκνυσιν, ὅτι τὸ σύγγραμμα ἐγράφη τότε, ὅτε ἐπανελθὼν ἀσθενὴς ἐκ τῆς ἐρήμου, ἔζη οἴκοι.

(5) Πρὸς παραμυθίαν τῆς χήρας μνημονεύει τῆς καταστροφῆς τοῦ Οὐάλεντος (τῷ 378), τοῦ δεινοῦ πολέμου τοῦ Θεοδοσίου (τῷ 379-381), καὶ τῶν ἐπιδρομῶν τῶν βαρβάρων Γότθων (τῷ 381). Τοῦ περὶ παρθενίας συγγράμματος γίγνεται μνεία ἐν τῇ ιθ'. ὁμιλίᾳ εἰς τὴν Α. πρὸς Κορινθ. ἐπιστολήν.

(6) Ἐν τῷ λόγῳ εἰς τὸν μακάριον Βαβύλαν Τ. Β'. σ. 560. Κατὰ τὸν αὐτὸν χρόνον (382) ἐγράφη καὶ ἡ Ἐπιθεώρησις εἰς τὴν ἁγίαν Γραφήν. Τ. 2. σελ. 573.

(7) Τὰ δύο συγγράμματα περὶ κατανύξεως ἐγράφησαν πρὸς Δημήτριον καὶ Στελέχιον. Ἐν τῷ τελευταίῳ λόγον ποιούμενος περὶ τῶν ἐπιτρεπόντων τοῖς ἀναξίοις τὸ Βάπτισμα καὶ τὴν Εὐχαριστίαν, λέγει, ὅτι καὶ αὐτὸς μετεῖχε τῆς τελέσεως

§. 168. Ἐνεργητικότης αὐτοῦ ἐν τῷ βαθμῷ τοῦ πρεσβυτέρου: α΄.] ἀπὸ τοῦ 386 μέχρι τῆς μεγάλης Τεσσαρακοστῆς τοῦ 388.

Ἐν τῇ ἀρχῇ τοῦ 386 ὁ ἅγιος Ἰωάννης ἐχειροτονήθη ὑπὸ τοῦ Φλαβιανοῦ ἱερεύς(1). Τοῦτο δὲ ἦν διὰ τὸν Χρυσόστομον κυρίως κλῆσις εἰς τὸ κηρύττειν (2). Ἐπὶ 12 ἔτη διατελέσας ἱερεύς (3), ἅπαξ τοὐλάχιστον τῆς ἑβδομάδος (4), καὶ ὡς ἐπὶ τὸ πλεῖστον δίς (5), ἐνίοτε δὲ καθ'

τῶν μυστηρίων: Ἡμεῖς λέγει· τοῦτο δ' οὐκ ἂν εἶπε περὶ ἑαυτοῦ ὡς ἀναγνώστου· περὶ τῆς μετοχῆς τοῦ διακόνου ἐν τοῖς μυστηρίοις λέγει αὐτὸς ἐν τῇ πβ΄. ὁμιλίᾳ εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου. Ἐν τῷ περὶ κατανύξεως συγγράμματι ὡσαύτως §. 6. σελ. 132. λέγει: «Ὅτε γὰρ πρῴην ἐγὼ ἐγνώκειν, τὴν πόλιν ἀφείς, ἐπὶ τὰς σκηνὰς τῶν μοναχῶν ἐλθεῖν, πολὺς ἤμην τότε ἐρευνῶν». Οὐ πρὸ πολλοῦ τοίνυν ἔζη μετὰ τῶν μοναχῶν. Ὁ Μαρκελλῖνος (in Chron. ad an 398.) γράφει περὶ αὐτοῦ: «Ἐν Ἀντιοχείᾳ ἐπὶ πέντε ἔτη διάκονος ὤν, ἔγραψε πολλὰ καὶ ἱερὰ βιβλία.» Διάκονος ὤν, οὐδένα ἐξεφώνησε λόγον, ὡς αὐτὸς λέγει. Τ. Α΄. σελ. 427.—

(1) Παλλάδ. σελ. 41, 42. Ὁ Αὐτοκράτωρ Λέων λέγει, ὅτι καθ' ἣν στιγμὴν ὁ Φλαβιανός, ἐνδεδυμένος τὴν ἀρχιερατικὴν στολήν, ἐπέθηκε τὰς χεῖρας τῷ νέῳ ἱερεῖ, λευκὴ περιστερὰ ἔστη ἐπὶ τῆς κεφαλῆς τοῦ Χρυσοστόμου ἐνώπιον παντὸς τοῦ ἐν τῇ Βασιλικῇ συνηθροισμένου λαοῦ. Τοῦτο ἦν ἀναμφίβολον σύμβολον τῆς ἀθωότητος τῆς ψυχῆς ἐκείνου καὶ τοῦ ἁγίου Πνεύματος, ὅπερ ἔμελλε πληρῶσαι τὴν καρδίαν αὐτοῦ. Σ. Μ.

(2) Ἐν ἄλλαις πόλεσιν, οἷον ἐν Ἀλεξανδρείᾳ καὶ Κωνσταντινουπόλει ὁ ἱερεὺς εἶχε τὸ δικαίωμα μετὰ τῆς ἱερουργίας κηρύττειν καὶ τὸν λόγον τοῦ Θεοῦ, ὡς τοῦτο γίγνεται δῆλον ἐκ τῶν λόγων τοῦ Ἐπιφανίου (περὶ τῆς ἄρειαν. αἱρέσ. ς΄. 9.) καὶ τοῦ Ἀθανασίου (Ἀπολογ. κατὰ Ἀρ. §. 20.)· περὶ δὲ τῆς Ἀντιοχείας λέγει ὁ Χρυσόστομος, ὅτι τὸ ἔργον τοῦ κηρύττειν τὸν θεῖον λόγον ἀνετίθετο ἐκεῖ τοῖς σοφοτέροις (ὁμιλ. γ΄. πρὸς Κορινθ.). Περὶ ἑαυτοῦ λέγει, ὅτι ἡ ἀγάπη τῶν Ἀντιοχέων ἐκάλεσεν αὐτὸν ἐπὶ τὸ στάδιον τοῦ διδασκάλου τοῦ θείου λόγου Τ. Α΄. 407.

(3) Παλλάδ. σελ. 42.

(4) Χρυσόστ. Τ. Δ΄. σελ. 730.

(5) Ὁμιλ. εἰς Ἰωάν. κέ. §. 1. Ἐν ἀρχ. Πράξ. 4. Τ. Γ΄. σ. 83. «Ἐγὼ ὑμῖν ἅπαξ τῆς ἑβδομάδος συγγίγνομαι, ἢ καὶ δεύτερον πολλάκις».

ἑκάστην(¹), ἐκήρυττε τοῖς Ἀντιοχεῦσι τὸν λόγον τοῦ Θεοῦ. Ὁ Ἰωάννης ἐκφωνήσας ποτὲ λόγον ἐν τῷ βαπτιστηρίῳ μετέβη, κεκμηκὼς, εἰς τὴν μητροπολίτιδα Ἐκκλησίαν, ἀκροασόμενος τοῦ ποιμένος αὐτοῦ. Οὗτος δὲ εἰς ἐκπλήρωσιν τῆς κοινῆς ἐπιθυμίας, ἐνετείλατο αὐτῷ ἐκφωνῆσαι λόγον (²). Μετὰ τῆς κλήσεως τοῦ ἱεροκήρυκος ἀνετέθη αὐτῷ καὶ τὸ καθῆκον τοῦ ἐπιμελητοῦ τῶν ἐνδεῶν. Ἡ μεγάλη μέριμνα τοῦ Ἰωάννου ὑπὲρ τῶν ἐνδεῶν δείκνυται ἐκ τοῦ ἀριθμοῦ αὐτῶν. Διότι ὀλίγα ἔτη μετὰ τὴν εἰς τὴν ἱερωσύνην χειροτονίαν τοῦ Χρυσοστόμου ἠριθμοῦντο ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀντιοχείας 3,000 χηρῶν καὶ παρθένων, ἃς ἔτρεφε καθ' ἑκάστην ἡ Ἐκκλησία, ἐκτὸς τῶν ἐν τοῖς δεσμωτηρίοις, τῶν ξένων, τῶν ἀσθενῶν, οἵτινες ἅπαντες ἦσαν ὑπὸ τὴν ἐπιμέλειαν αὐτῆς (³). Τὸ περὶ τῶν ἐνδεῶν μεριμνᾷν ἦν πάνυ εὐάρεστον τῇ εὐαισθήτῳ τοῦ Χρυσοστόμου καρδίᾳ (⁴).

Ὅτε προὐχειρίσθη πρεσβύτερος, ἐξεφώνησεν λόγον εἰς ἑαυτὸν πλήρη βαθείας συνειδήσεως τῆς ἀσθενείας αὐτοῦ, ἐθαύμαζεν, ὅτι ὢν «μειρακίσκος (ἦγε τότε τὸ 39 ἔτος τῆς ἡλικίας αὐτοῦ,) εὐτελὴς καὶ ἀπερριμμένος, πρὸς ὕψος ἀρχῆς ἀνηνέχθη τοσοῦτον», ἔπειτα ἔλεγεν: «ἐβουλόμην οὖν πρῶτον ἐν Ἐκκλησίᾳ μένων ἀφιέναι λόγον, τῶν προοιμίων ἀπάρξασθαι τῷ τὴν γλῶσσαν ἡμῖν ταύτην δεδωκότι Θεῷ . . . ἀλλ' οὐχ ὡραῖος ὁ αἶνος ἐν στόματι ἁμαρτωλοῦ» (⁵), πλήρης ἐπιθυμίας αἰνέσαι τὸν Κύριον· μετὰ ταῦτα ἐξεφώνησε λόγον περὶ τῶν Σεραφίμ καί, μετὰ τῆς αὐτῆς συνειδήσεως τῆς πτωχείας αὐτοῦ, λέγει. «Εἰ καὶ πολλῆς ἡμῖν πενίας ἡ τράπεζα γέμει, οὐδὲ οὕτως αὐτὴν ἀποκρύψομεν, ἀλλὰ πάντα εἰς μέσον τὰ πρὸ ἡμῶν φέροντες, καταθήσομεν ἡμῖν» (⁶). Τῇ δὲ μεγάλῃ Τεσσαρακοστῇ, ὁτὲ μὲν ἐξε-

(¹) Τ. Β'. σελ. 455. Τ. Δ'. σελ. 651.

(²) Οὕτω λέγει αὐτός. Τ. ϛ'. σελ. 255.

(³) Ὁμιλ. ξϛ'. εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου Τ. Ζ'. σ. 657, 658.

(⁴) Πρὸ τούτου ἔτι ἐδωρήσατο αὐτοῖς ἅπασαν αὐτοῦ τὴν περιουσίαν.—

(⁵) Τ. Α. σελ. 436, 438.

(⁶) Τόμ. 6. ὁμιλ. Ϛ'. Ἐν τῇ ὁμιλίᾳ εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον: «καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας. . . .» σελ. 106. λέγει: «Ἠκούσατε πρώην, ὅτε πρὸς τὴν ὑμετέραν ἀγάπην διαλεχθῆναι κατηξιώθημεν, τὸν ψαλμὸν ἐκεῖνον ἀναγινωσκόντων ἡμῶν, ὃς τὸν ἁμαρτωλὸν

φώνει τοὺς λόγους εἰς τὴν Γένεσιν ([1]), ὁτὲ δὲ ὡμίλει περὶ τῆς ἀσαφείας τῶν προφητειῶν ([2]), ἄλλοτε δὲ πάλιν ἐξανίστη τὴν ῥαθυμίαν τῶν ἀκροατῶν διὰ τῶν ὁμιλιῶν κατὰ ῥᾳθυμίας καὶ περὶ διαβόλου πειραστοῦ([3]). Αἱ πλάναι, ἃς εὕρισκε μεταξὺ τῶν Ἀντιοχέων, ἐγένοντο ἀντικείμενον παραινέσεων καθ' ἅπαν τὸ πρῶτον ἔτος ([4]), μόνον δὲ βαρεῖα ἀσθένεια διέκοψε πρὸς καιρὸν τὸν χείμαρρον τοῦ ἡδέος αὐτοῦ λόγου ([5]). Οἱ θρασεῖς Εὐνομιανοί, πολυάριθμοι

τῶν ἱερῶν προβόλων ἐκβαλών, ἀγγέλοις καὶ ταῖς ἄνω δυνάμεσιν εὐφημεῖν παρεκελεύετο τὸν τῶν ὅλων Θεόν». Πρβλ. Τόμ. 1. σελ. 438, 439. Ἡ δευτέρα τοίνυν ὁμιλία κατὰ τὴν ἔκδοσιν τοῦ Μοντφαουκονίου ἦν ἡ πρώτη περὶ τῶν Σεραφίμ, ἔπειτα ἐξεφωνήθησαν ἡ τρίτη (σελ. 111.), ἡ πέμπτη καὶ ἡ ἕκτη (σελ. 137). Ἡ τελευταία τούτων ἐξεφωνήθη τῇ Κυριακῇ πρὸ τῆς μεγάλης Τεσσαρακοστῆς: «Ἰδοὺ προσελαύνουσι νηστεῖαι, κοῦφα μὲν τῆς ψυχῆς ἐργαζόμεναι τὰ πτερά, κοῦφον δὲ τῆς σαρκὸς κατασκευάζουσαι τὸ φορτίον». §. 3. Τὸ Πάσχα κατὰ τοῦτο τὸ ἔτος ἦν τῇ πέμπτῃ Ἀπριλίου.—

([1]) Τ. 4. σελ. 645. Ὁ πρῶτος λόγος ἐλέχθη ἐν ἀρχῇ τῆς Τεσσαρακοστῆς. Ἐν τῷ δευτέρῳ σελ. 651. «. . . οὐ γὰρ οἰκείᾳ δυνάμει θαρρήσαντες, ἀλλὰ ταῖς εὐχαῖς τῶν προέδρων καὶ ταῖς ὑμετέραις τὸ πᾶν ἐπιρρίψαντες, ἀπεδυσάμεθα πρὸς τὸ στάδιον». Κατὰ τὸν Φεβρουάριον ἐξεφωνήθη τὸ ἐγκώμιον εἰς τὸν ἅγιον Μελέτιον (τῷ 381) «. . . Καὶ γὰρ πέμπτον ἔτος παρέδραμεν, ἐξ οὗ πρὸς τὸν ποθούμενον ἀπεδήμησεν Ἰησοῦν ἐκεῖνος, καὶ καθάπερ χθὲς καὶ πρώην αὐτὸν ἑωρακότες, οὕτω μετὰ ζέοντος τοῦ φίλτρου πρὸς αὐτὸν ἀπηντήκατε σήμερον». Τ. 2. σελ. 518.

([2]) Θαυμάσιαί εἰσιν αἱ δύο αὗται ὁμιλίαι (Τ. 6. σελ. 168), ἔνθα ὁμιλεῖ τὸ μὲν κατὰ τῶν Μανιχαίων, οὓς ἐλέγχει καὶ ἐν τοῖς εἰς τὴν Γένεσιν λόγοις, τὸ δὲ κατὰ τῶν Ἀνομοίων, οὓς ἐλέγχει ἐν ἰδίοις λόγοις. Μετὰ τούτους τοὺς λόγους κατὰ τῶν Μανιχαίων ἐξεφωνήθη ὡσαύτως καὶ ὁ λόγος: «πρὸς τοὺς λέγοντας, ὅτι δαίμονες τὰ ἀνθρώπινα διοικοῦσι». Πρβλ. σ. 247. 6. Τ. 2. καὶ τὸ τέλος τοῦ δευτέρου λόγου περὶ προφητειῶν.

([3]) Τόμ. 2. σελ. 267, 255.

([4]) Τόμ. 2. σελ. 267.

([5]) Κατὰ τὸ ἔαρ τούτου τοῦ ἔτους ὁ ἱερὸς Πατὴρ ἦν ἀσθενής· μετὰ τοῦτο ἐξεφωνήθη ἡ ὁμιλία εἰς τοὺς λόγους τοῦ Ἀποστόλου: «Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἔσονται καιροὶ χαλεποί» (Τ. 6. σελ. 278). Περὶ τοῦ χρόνου καθ' ὃν ἐξεφωνήθη ἡ ὁμιλία ἴδε τὴν ἀρχὴν αὐτῆς (σελ. 278).—

όντες ἐν αὐτῇ τῇ Ἀντιοχείᾳ (1), ἠκροάσαντο (τῷ 386 ἐν μηνὶ Αὐγούστῳ) τὸν ἔλεγχον αὐτοῦ ἐν τῷ λόγῳ περὶ ἀκαταλήπτου(2)· σύναμα δὲ ἡ τυφλότης τῶν Ἰουδαίων ἐπιβεβαιοῦσα τότε τὰς δεισιδαιμονίας αὐτῆς ἐν Ἀντιοχείᾳ τῇ ἐξουσίᾳ τοῦ Πατριάρχου (3), πολλῷ δὲ μᾶλλον ἡ ἀσθενὴς νόησις χριστιανῶν τινῶν τῆς Ἀντιοχείας, παρασυρθέντων εἰς κοινωνίαν μετὰ τῶν Ἰουδαίων, παρώρμησαν αὐτὸν ὁμιλῆσαι κατὰ Ἰουδαίων καὶ τῶν ἰουδαϊζόντων χριστιανῶν(4).

---

(1) Ἴδ. λόγ. ζ΄. περὶ ἀκαταλ. Τ. 1. σελ. 450. Οὗτοι εἶχον ἐνταῦθα τὸν ἑαυτῶν ἐπίσκοπον Δωρόθεον, ἐξόριστον γενόμενον τῷ 381.

(2) Τ. 1. σελ. 450, 453.

(3) Λόγ. ς΄. κατὰ Ἰουδαίων σελ. 656. Περὶ τοῦ ἰουδαιόφρονος Πατριάρχου, πλεῖστον ὅσον ἀργύριον συναθροίσαντος, ἴδ. Χρυσοστ. κατὰ Ἰουδ. Τ. 1. σελ. 581.—

(4) Λόγ. κατὰ Ἰουδ. Τ. 1. σελ. 587. « Ἐβουλόμην ὑμῖν ἀποδοῦναι τὰ λείψανα σήμερον τῆς ὑποθέσεως, περὶ ἧς καὶ πρώην ὑμῖν διελέχθην, καὶ δεῖξαι σαφέστερον, πῶς ἀκατάληπτός ἐστιν ὁ Θεός. Περὶ γὰρ τούτου τῇ παρελθούσῃ Κυριακῇ τοὺς πολλοὺς ἐκείνους καὶ μακροὺς ἐποιησάμεθα λόγους, ὅτε καὶ μάρτυρας παρηγάγομεν τόν τε Ἡσαΐαν καὶ τὸν Δαυΐδ καὶ τὸν Παῦλον . . . ἑορταὶ τῶν ἀθλίων καὶ ταλαιπώρων Ἰουδαίων μέλλουσι προσελαύνειν συνεχεῖς καὶ ἐπάλληλοι, αἱ σάλπιγγες, αἱ σκηνοπηγίαι, αἱ νηστεῖαι· καὶ πολλοὶ τῶν μεθ' ἡμῶν τεταγμένων καὶ τὰ ἡμέτερα λεγόντων φρονεῖν, οἱ μὲν ἐπὶ τὴν θέαν ἀπαντῶσι τῶν ἑορτῶν, οἱ δὲ καὶ συνεορτάζουσι, καὶ τῶν νηστειῶν κοινωνοῦσι· καὶ τοῦτο τὸ πονηρὸν ἔθος βούλομαι τῆς Ἐκκλησίας ἀπελάσαι νῦν . . .» ἐν τῇ σελ. 591 διηγεῖται καὶ ἰδιαίτερον περιστατικόν, παροτρῦναν αὐτὸν ὁμιλῆσαι κατὰ τῶν Ἰουδαίων. Τῷ πρώτῳ οὖν λόγῳ περὶ ἀκαταλήπτου (Τ. 1. σελ. 449, 450.) ἠκολούθησαν οἱ λόγοι κατὰ Ἰουδαίων (ὁ δεύτερος μετὰ τὸν πρῶτον ἐν δέκα ἡμέραις, καὶ πέντε ἡμέρας πρὸ τῶν ἑορτῶν τῶν Ἰουδαίων Τ. 1. σελ. 601)· οἱ λόγοι οὗτοι ἐξεφωνήθησαν ἐν τῷ τέλει τοῦ Αὐγούστου. Κατὰ τοῦτο τὸ ἔτος ἐξεφώνησε κατὰ τῶν Ἰουδαίων πολλοὺς λόγους (Τ. 1. σελ. 361), ἀλλ' οὐ διεσώθησαν ἅπαντες. Μετὰ τοὺς κατὰ Ἰουδαίων λόγους ἐξεφωνήθησαν ά.] ὁ λόγος διὰ παρουσίαν ἐπισκόπων· β΄.] ὁ λόγος εἰς τὴν ἡμέραν τῶν μαρτύρων· γ΄.] «νῦν γοῦν ἐπειδὴ καὶ τῆς πρὸς Ἰουδαίους λοιπὸν ἀπηλλάγημεν μάχης, καὶ οἱ πατέρες πρὸς τὰς ἑαυτῶν ἐπανῆλθον πατρίδας, καὶ τῆς

Ἐλέγχων μετὰ ταῦτα τοὺς Εὐνομιανούς, οὐ μόνον ἀπέτρεπε τὸ πρὸς αὐτούς μίσος, ἀλλὰ τοὐναντίον καὶ παρήνει δέεσθαι ὑπὲρ αὐτῶν([1]), καὶ κατόπιν ἐξεφώνησε δύο ὁμιλίας «περὶ τοῦ μὴ δημοσιεύειν τὰ ἁμαρτήματα τῶν ἀδελφῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν» ([2]). Ἐν τοιαύτῃ ἀφθονίᾳ ἀγάπης, ἐν τοιαύτῃ ἐπιθυμίᾳ τοῦ ὁρᾶν τὴν ἀμοιβαίαν ἀγάπην ἐν τοῖς ὁμολογοῦσι τὴν ἀγάπην τοῦ Ἰησοῦ, ἠδύνατο ὁ χριστιανὸς διδάσκαλος ἡσυχίαν ἄγειν, ὅτε καὶ αὐτοὶ οἱ ὀρθόδοξοι Ἀντιοχεῖς εἶχον πρὸς ἀλλήλους διαιρέσεις; Οἱ Εὐσταθιανοὶ εἶχον νῦν Ἐπίσκοπον τὸν Παυλῖνον, ὅστις ἀμβλυωπῶν, παρεδέχετο, ὡς ὀρθόδοξον, τὸν Ἀπολλινάριον. Παρὰ δὲ τοῖς Μελετιανοῖς ἦν ὁ Φλαβιανός, οἵτινες πικρῶς κατηγόρουν ἀλλήλων, ἰδίως τοῦ Παυλίνου. Ἐνταῦθα ὡσαύτως οἱ Ἀπολλιναρισταὶ εἶχον ἴδιον Ἐπίσκοπον τὸν Βιτάλιον. Τούτους δὲ κατέκρινον οἱ ἄλλοι πολλῷ πικρότερον. Τοῦτο δὲ εἰς οὐδὲν ἐλογίζοντο ἄνθρωποι, οἵτινες ἐτόλμων ἀναθεματίζειν, «ἅπερ οὐκ ᾔδεισαν». «Ἀλγῶ καὶ διαπρίομαι τὴν διάνοιαν, καὶ τὰ σπλάγχνα κόπτομαι, τὴν τοσαύτην ἀναλγησίαν ὁρῶν», λέγει ἐν τῷ περὶ ἀναθέματος λόγῳ ὁ Χρυσόστομος([3]). «... Τίς εἶ σὺ ταύτης

εὐλογίας τῶν μαρτύρων ἀπηλαύσαμεν ἱκανῶς, φέρε δὴ λοιπὸν τὴν χρονίαν ὠδῖνα τῆς ὑμετέρας ἀκροάσεως λύσωμεν» (σελ. 453). Κατὰ δὲ τὸ τέλος τῶν ἰουδαϊκῶν ἑορτῶν οἱ λόγοι β'. γ'. δ'. καὶ έ. κατὰ Ἀνομοίων (Τ. 1. σελ. 453. 462. 470) ἐξεφωνήθησαν κατὰ τὸν Νοέμβριον.—

([1]) Τόμ. 1. σελ. 487, 488.

([2]) Τ. 3. σελ. 344, 354. Οἱ λόγοι οὗτοι ἐξεφωνήθησαν μετὰ τὸν ε'. λόγον (Τ. 1. σελ. 501) κατὰ Ἀνομ. σελ. 344, 347, 348. Ἴδ. Τ. 1. σελ. 488, 489, 490. Ὡσαύτως Τ. 3. σελ. 356, 351.—

([3]) Ἐξεφωνήθη μετὰ τὸν πρῶτον ἐκ τῶν περὶ ἀκαταλήπτου λόγων. Ἴδ. τὴν ἀρχὴν αὐτοῦ Τ. 1. σελ. 691. Περὶ τοῦ ἐν Ἀντιοχείᾳ σχίσματος ἴδ. ἐν τῇ ἱστορίᾳ τοῦ ἁγίου Μελετίου. Χωρία τινὰ τοῦ λόγου τούτου ἀναφέρει ὁ Π. Φιλόθεος (Jus græco-rom. P. 2. pag. 289). Μετὰ τὸν πέμπτον λόγον περὶ ἀκαταλήπτου ἐξεφωνήθη ὁ λόγος εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου τὸ λέγον: «εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται» (Φιλιπ. ά. 18). Τ. 3. σελ. 300. Διότι ἐν τῷ λόγῳ τούτῳ ἐπάγεται τὴν 6 καὶ 7. §. τοῦ πέμπτου λόγου. Τῇ εἰκοστῇ Δεκεμβρίου ἐξεφωνήθη ὁ λόγος εἰς τὸν μακάριον Φιλογόνιον, ἐν ᾧ προπαρεσκεύαζε τοὺς ἀκροατὰς πρὸς ἀξίαν κοινωνίαν τῆς ἁγίας Εὐχαριστίας ἐν τῇ ἑορτῇ τῆς Χριστοῦ Γεννήσεως. Τ. 1. σελ. 492, 498.

τῆς ἐξουσίας καὶ τῆς μεγάλης δυνάμεως; ... Τί οὖν τῆς τοσαύτης ἐπελάβου ἀξίας, ἧς τὸ κοινὸν μόνον τῶν Ἀποστόλων ἠξίωται, καὶ οἱ κατὰ πᾶσαν ἀκρίβειαν τούτων ὡς ἀληθῶς γεγονότες διάδοχοι, πλήρεις χάριτος καὶ δυνάμεως;» Ἔπειτα δὲ δείκνυσι πῶς αὐτοὶ οἱ ποιμένες ὀφείλουσιν ἐλέγχειν τὰς πλάνας, καὶ πῶς ὁ ἰδιώτης ὀφείλει νουθετεῖν τὸν πλησίον. Ἡ ἑορτὴ τῆς Χριστοῦ Γεννήσεως, ἥτις μετηνέχθη ἐν Ἀντιοχείᾳ ἀπὸ τῆς ἕκτης Ἰανουαρίου εἰς τὴν εἰκοστὴν πέμπτην Δεκεμβρίου, ὡς λέγει ὁ Χρυσόστομος, μόνον πρὸ δέκα ἐτῶν, καὶ ἣν ἑώρταζόν τινες ἀκουσίως ἐν ταύτῃ τῇ νέᾳ ἡμέρα, ἔδωκε τῷ πρεσβυτέρῳ ἀφορμὴν ὁμιλῆσαι ἐν ἐκτάσει περὶ τῆς Γενεθλίου ἡμέρας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (1).

«Θαρροῦντες ἐπὶ τὴν μάχην χωρῶμεν, ἔλεγεν ὁ ἔνθερμος κήρυξ τῇ πρώτῃ ἡμέρᾳ τοῦ τπζ΄ου ἔτους, καὶ γὰρ καὶ ἡμῖν πόλεμος συνέστηκε νῦν, οὐκ Ἀμαληκιτῶν ἐπελθόντων, καθάπερ τότε, οὐδ' ἑτέρων τινῶν βαρβάρων καταδραμόντων, ἀλλὰ δαιμόνων πομπευσάντων ἐπὶ τῆς ἀγορᾶς. Αἱ γὰρ διαβολικαὶ παννυχίδες, αἱ γινόμεναι τήμερον, καὶ τὰ σκώμματα καὶ αἱ λοιδορίαι, καὶ αἱ χορεῖαι αἱ νυκτεριναί, καὶ ἡ καταγέλαστος αὕτη κωμῳδία, παντὸς πολεμίου χαλεπώτερον τὴν πόλιν ἡμῶν ἐξῃχμαλώτισαν». Καὶ μετὰ δυνάμεως ἤλεγξε τὰς παρὰ τοῖς ἐθνικοῖς ἀκολάστους ἀσχολίας. Ὁ ῥήτωρ, ἵνα δείξῃ τοῖς κούφοις ἀνθρώποις, εἰς τί ἄγουσιν αἱ τέρψεις τοῦ ἀπροσέκτου κόσμου, τὴν ἐπιοῦσαν (2), καὶ ἔπειτα κατὰ τὰς Κυριακάς (3), ἐξεικό-

---

(1) Ἐνταῦθα (§. 7.) λέγει: «Καὶ ὃ πρώην ὑμᾶς παρεκάλεσα, τοῦτο καὶ νῦν, καὶ ἀεὶ παρακαλῶν οὐ παύσομαι». Καὶ παραινεῖ πρὸς ἀξίαν κοινωνίαν τῶν ἁγίων μυστηρίων. Περὶ τούτου δὲ ἐποιήσατο λόγον τῇ κ΄. Δεκεμβρίου. ἴδ. σελ. 373. σημ. 3. ὁ λόγος οὖν ἐξεφωνήθη τῷ 386.

(2) Λόγος ταῖς Καλάνδαις Τ. 1. σελ. 697. «Πρώην γοῦν ἡμῶν ἐγκωμιαζόντων τὸν μακάριον Παῦλον οὕτως ἐσκιρτήσατε, ὡς αὐτὸν ὁρῶντες παρόντα». Τὸν Ἀπόστολον ἐνεκωμίασεν ἐν ἐκτάσει ἐν τῷ εἰς τὸν Ἀπόστολον Παῦλον λόγῳ (Τ. 3. σελ. 300), ἐκφωνηθέντι μετὰ τὸν πέμπτον περὶ ἀκαταλήπτου (Τ. 3. σελ. 300. πρβλ. Τ. 1. σελ. 489).

(3) Τὴν ἐπιοῦσαν ἡμέραν τῶν Καλανδῶν, δηλ. τῇ β΄. Ἰανουαρίου ἐν Ἀντιοχείᾳ. Τ. 1. σελ. 707, 708.

(4) Τῇ ς΄. Ἰανουαρίου ἐλέχθη ἡ ὁμιλία εἰς τὸ ἅγιον καὶ σωτή-

νισε ζωηρῶς ἐν ἓξ ὁμιλίαις τὴν τύχην τοῦ πτωχοῦ Λαζάρου καὶ τοῦ πλουσίου ἐν μελλούσῃ τῇ ζωῇ. Μετά τινας ὁμιλίας, ἐν αἷς περὶ τῶν ἀληθῶν χηρῶν καὶ πρὸς τοὺς εἰς τὰς ἱπποδρομίας ἀπελθόντας, ἐπελάβετο αὖθις τῶν ἐλέγχων αὐτοῦ κατὰ τῶν Ἀνομοίων(1). Ὁ σεισμός, οὐχὶ σπάνιος κατ᾽

ριον Βάπτισμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. (Τ. 2. σελ. 367). Ἐν τῷ τρίτῳ καὶ τετάρτῳ κεφαλαίῳ ἐπάγεται τὴν προτροπὴν πρὸς ἀξίαν κοινωνίαν τῶν ἁγίων μυστηρίων (ἴδ. σελ. 373. σημ. 3). Τῇ ἐπιούσῃ ἐξεφωνήθη ἡ ἐγκωμιαστικὴ ὁμιλ. εἰς τὸν ἅγ. μάρτυρα Λουκιανόν. Τ. 2. σελ. 524. §. 2. Ἐνταῦθα ὁ ἱερὸς Πατὴρ λέγει: «Χθὲς μὲν οὖν ὁ Δεσπότης ἡμῶν ὕδατι ἐβαπτίσατο, σήμερον δὲ ὁ δοῦλος αἵματι βαπτίζεται». Ἡ ἑορτὴ τοῦ ἁγ. τούτου μάρτυρος τελουμένη τῇ ιέ. Ὀκτωβρ. μετηνέχθη τότε πιθανῶς, ὅτε εἰσήχθη ἑορτάζειν τὴν σύναξιν Ἰωάννου τοῦ Βαπτιστοῦ κατὰ τὴν ζ΄. Ἰανουαρ. Ἐν τῷ ρωμαϊκῷ μαρτυρολογίῳ καὶ μέχρι τοῦ νῦν τελεῖται ἡ μνήμη τοῦ Μάρτυρος τῇ ζ΄. Ἰανουαρίου. Τῇ κδ΄. Ἰανουαρίου ἐλέχθη ὁ λόγος εἰς τὸν ἅγιον ἱερομάρτυρα Βαβύλαν (Τ. 2. σ. 531), τῇ δ᾽ ἐπιούσῃ ὁ εἰς τοὺς ἁγίους μάρτυρας Ἰουβεντῖνον καὶ Μαξιμῖνον (Τ. 2. σελ. 578). Τοῦ λόγου εἰς τὸν Βαβύλαν ἤρξατο ὧδε: «ἐγὼ μὲν ἐβουλόμην ἀποδοῦναι τὸ χρέος τήμερον, ὃ πρώην ἐνταῦθα γενόμενος, ὑπεσχόμην ὑμῖν· ἀλλὰ τί πάθω; Μεταξὺ φανεὶς ὁ μακάριος Βαβύλας, πρὸς ἑαυτὸν ἡμᾶς ἐκάλεσε». Καὶ ἐν τῷ τετάρτῳ λόγῳ: «Καὶ ἔδει μὲν τῇ προτέρᾳ συνάξει τοῦτο ὑμῖν ἀποδοῦναι τὸ χρέος· ἀλλ᾽ οὐκ ἀσφαλὲς εἶναι ἐνομίσαμεν, τοῦ μακαρίου Βαβύλα καὶ τῆς ξυνωρίδος τῶν ἁγίων μαρτύρων τῶν μετ᾽ ἐκεῖνον προελθεῖν τὰ κατορθώματα». Ἐντεῦθεν δῆλον, α΄.] ὅτι ὁ τέταρτος λόγος εἰς τὸν Λάζαρον ἐλέχθη τῇ α΄. Κυριακῇ μετὰ τὴν κε΄. τοῦ μηνὸς τούτου, β΄.] ὅτι ὁ δεύτερος καὶ ὁ τρίτος ἐλέχθησαν κατὰ τὰς κυριακὰς τὰς προηγηθείσας τῆς κδ΄., ἀλλ᾽ οὐχὶ τὴν γ΄. καὶ δ΄. τοῦ μηνός, ὡς ὑποτίθησιν ὁ Μοντφαουκόνιος, διότι καὶ ἐν τῷ δευτέρῳ λόγῳ εἰς τὸν Λάζαρον οὐκ εἴρηται χθὲς, ἀλλὰ πρώην, ἐν δὲ τῷ τρίτῳ (Τ. 1. σ. 736) σαφῶς λέγει: «Ἵν᾽ οὖν καὶ ἡμεῖς τὸ δοθὲν μὴ ἀποβλύσητε, οὐκ ἀθρόον ὑμῖν ἐπεκλίναμεν τὸ τῆς διδασκαλίας ποτήριον, ἀλλ᾽ εἰς πολλὰς ὑμῖν αὐτὸ κατεκερματίσαμεν ἡμέρας, ἐν ταῖς μεταξὺ ταύταις ἡμέραις διαναπαύεσθαι παρασχόντες ὑμῖν ἐκ τοῦ τῆς ἀκροάσεως πόνου . . . » —

(1) Μετὰ τὸν τέταρτον λόγον εἰς τὸν Λάζαρον ἐλέχθησαν πρῶτον ἡ ὁμιλία εἰς τὸ ρητὸν τοῦ Ἀποστόλου: «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν. . . » Τ. 1. σελ. 762. «Ἡμέρας τέσσαρας ἀνηλώσα-

ἐκείνους τοὺς χρόνους ἐν Ἀντιοχείᾳ, διήγειρεν ἐν τοῖς κατοίκοις τῆς πρωτευούσης τῆς Ἀνατολῆς τὴν περὶ ψυχῆς μέριμναν, καὶ ὁ ῥήτωρ ὑπέμνησε πάλιν αὐτοὺς τὴν τύχην τοῦ Λαζάρου(¹). Ἡ ἀσθένεια ἔρριψεν αὐτὸν ἐπὶ τῆς κλίνης· ἀλλ' ἡ πρὸς τοὺς πάσχοντας ἀγάπη ἤγειρεν αὐτόν, καὶ προὔτρεψεν αὐτὸν δραμεῖν εἰς τὸν ἔξω τῆς πόλεως ναόν, ἔνθα ἐξεφώνησε διδακτικὸν λόγον, ἐν ᾧ πρὸς τοῖς ἄλλοις λέγει, ὅτι «οὐ μόνον ἀρρωστίας κωλυούσης, ἀλλὰ καὶ μυρίων ἑτέρων κωλυμάτων γινομένων, οὐκ ἀπέστην τοῦ περιπλέκεσθαι ὑμῶν τῇ ἀγάπῃ»(²). Πρὸ τῆς μεγάλης Τεσσαρακοστῆς ἐλέχθη ὁ περίφημος λόγος κατὰ τῶν τὰ πρῶτα πάσχα νηστευόντων(³). Τοῦτο πάλιν κατὰ τῶν ἰουδαϊζόν-

μεν τὴν κατὰ τὸν Λάζαρον παραβολὴν ὑμῖν ἐξηγούμενοι». β'.] Ἡ ὁμιλία εἰς τό: «Χήρα καταλεγέσθω...» (Τ. 3. σελ. 311). «Εἰς καιρὸν ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις.... ἣν ἠκούσατε σήμερον. Ἔχει γάρ τινα πρὸς τὰ πρώην εἰρημένα συγγένειαν καὶ ἀκολουθίαν πολλήν, εἰ καὶ μὴ ἐν τοῖς ῥήμασιν, ἀλλ' ἐν τοῖς νοήμασι. Τὸ μὲν γὰρ πρώην ἀναγνωσθὲν τοῦτο ἦν: περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ἡμᾶς ἀγνοεῖν, κ.τ.λ.» γ'.] πρὸς τοὺς εἰς τὰς ἱπποδρομίας ἀπελθόντας... καὶ πρὸς τῷ τέλει εἰς Πλούσιον καὶ εἰς τὸν Λάζαρον (Τ. 1. σελ. 790). Κατὰ τὸν αὐτὸν χρόνον ἐν μηνὶ Φεβρουαρίῳ δ'.] ἐξεφώνησε τὸν πρὸς Ἀνομοίους ἕβδομον λόγον (Τ. 1. σελ. 501, 502), ἔπειτα ταχθέντα ἐν τῷ ἕκτῳ τόμῳ (σελ. 655. πρβλ. Τ. 1. σ. 503, 514), ἔπειτα τὸν ὄγδοον «ἐκ πολέμου χθὲς ἐπανήλθομεν» (§. 1. σελ. 503). Τῷ ὀγδόῳ λόγῳ ἠκολούθησεν ἡ ὁμιλία περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως (Τ. 1). Ὁ δὲ ἔννατος καὶ δέκατος πρὸς Ἀνομοίους ἐλέχθησαν πολὺν χρόνον μετὰ τὸν ὄγδοον, οὗ αἰτία ἦν ἡ στάσις (σημ. 3). Ὁ ἔννατος ἐλέχθη τῇ ἡμέρᾳ τοῦ Λαζάρου («Σήμερον ἐκ νεκρῶν ἐγειρόμενος ὁ Λάζαρος» §. 1. σελ. 525). Ὁ δέκατος ἐν μιᾷ τῶν μετὰ τὸ Πάσχα ἡμερῶν (§. 1. 2. σελ. 525,530).

(¹) Τ. 1. σελ. 790. Αὐτὸς ὁ λόγος δείκνυσιν, ὅτι οἱ ἀκροαταὶ μέμνηνται τῶν προτέρων λόγων εἰς τὸν Λάζαρον. Τοῦτο τοίνυν ἐγένετο ἐν τῷ Φεβρουαρίῳ. Γνωστὸν δ' ἐστι προσέτι, ὅτι τῷ 387 συνέβη ἐν Ἀντιοχείᾳ σεισμός. Ἴδ. ὁμιλ. γ'. εἰς τοὺς ἀνδιάντας. §. 7.—

(²) Τ. 2. σελ. 717.

(³) Τ. 1. σελ. 606. Τὸ Πάσχα τῶν Ἰουδαίων κατὰ τοῦτο τὸ ἔτος συνέπεσεν ἐν ἡμέρᾳ Κυριακῇ μίαν ἑβδομάδα πρὸ τοῦ χριστιανικοῦ, διὸ καὶ ἡ νηστεία τῶν ἰουδαϊζόντων ἔμελλεν ἄρξασθαι καὶ λῆξαι πρὸ μιᾶς

των χριστιανῶν—κατ᾽ἐκείνων δηλονότι, οἵτινες καὶ μετὰ τὴν Οἰκουμενικὴν Σύνοδον διετέλουν ἑορτάζοντες τὸ χριστιανικὸν Πάσχα μετὰ τῶν Ἰουδαίων, διὰ τοῦτο δὲ καὶ ἐνήστευον κατὰ τὸν κύκλον τοῦ ἰουδαϊκοῦ Πάσχα. «Ὑμεῖς, φησιν, οὐ ταύτην ἐνηστεύετε τὴν νηστείαν πρότερον; τοῦτο οὐ σόν ἐστιν εἰπεῖν πρὸς ἐμέ, ἀλλ᾽ ἐμὲ δίκαιον ἂν εἴη πρὸς σὲ λέγειν, ὅτι καὶ ἡμεῖς οὕτως ἐνηστεύομεν πρότερον, ἀλλ᾽ ὅμως προετιμήσαμεν τὴν συμφωνίαν τῆς τῶν χρόνων παρατηρήσεως», καὶ βεβαιοῖ τὸ ὀρθὸν τῆς τοιαύτης προτιμήσεως τῷ παραδείγματι τοῦ Ἀποστόλου, ἀπορρίψαντος τὰς ἰουδαϊκὰς τελετάς. Ὁμιλήσας ἔπειτα περὶ τοῦ σπουδαίου τῆς ἀποφάσεως τῆς Οἰκουμενικῆς Συνόδου προστίθησι: «Μὴ τοίνυν φιλονεικῶμεν μηδὲ ἐκεῖνο λέγωμεν, τοσοῦτον ἐνήστευσα χρόνον, καὶ νῦν μεταθήσομαι; Δι᾽ αὐτὸ μὲν οὖν τοῦτο μετάθου, ἐπειδὴ τοσοῦτον ἀπεσχίσθης χρόνον τῆς Ἐκκλησίας, ἐπάνελθε λοιπὸν πρὸς τὴν μητέρα. Οὐδεὶς λέγει, ἐπειδὴ τοσοῦτον χρόνον ἐν ἔχθρᾳ διέμεινα, αἰσχύνομαι καταλλαγῆναι νῦν. Αἰσχύνη γάρ ἐστιν οὐ τὸ μεταβάλλεσθαι πρὸς τὸ βέλτιον, ἀλλὰ τὸ μένειν ἐπὶ τῆς ἀκαίρου φιλονεικίας. Τούτους καὶ Ἰουδαίους ἀπώλεσεν, οἳ τὴν παλαιὰν ἐπιζητοῦντες ἀεὶ συνήθειαν, πρὸς ἀσέβειαν ἀπεσύροντο». Μετὰ μίαν ἢ δύο ἡμέρας ἐγένετο ἡ ἐν Ἀντιοχείᾳ στάσις (¹), ἡ προκαλέσασα τὴν εὐφράδειαν τοῦ ῥήτορος πρὸς ἰσχυροτάτην ἐνέργειαν (²).

ἑβδομάδος. Τοῦτο συνέβη τῷ τπζ΄. πρὸς δὲ ὁ λόγος διέκοψε τὴν σειρὰν τῶν λόγων περὶ τοῦ ὁμοουσίου ἢ πρὸς Ἀνομοίους, σελ. 610. Τοῦτο δὲ δείκνυσιν, ὅτι ἐλέχθη τῷ τπζ΄. ὅτε τὸ Πάσχα συνέπεσε τῇ κζ΄. Ἀπριλίου. Ὁ λόγος ὁ διακόψας τὴν σειρὰν τῶν περὶ τοῦ ὁμοουσίου λόγων (σ. 610.), ἐλέχθη μετὰ τὸν ὄγδοον λόγον (ἴδ. σ. 374. σημ. 4). Μετὰ τὸν λόγον τοῦτον ἐλέχθη ἡ ὁμιλία εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου: οἴνῳ ὀλίγῳ χρῶ (Τ. 2. σ. 1).—

(¹) Ἐν τῇ ις΄. ὁμιλ. εἰς τοὺς ἀνδριάντας (Τ. 2. σελ. 162) λέγει: «ἰδοὺ δεύτερον ἔτος ἔχω τοῦτο πρὸς τὴν ὑμετέραν διαλεγόμενος ἀγάπην» (πρβλ. σημ. 36). Κατὰ τὸν Μάρτιον τοῦ 388 ὁ Θεοδόσιος οὐκ ἦν ἐν Κωνσταντινουπόλει, ἀλλ᾽ ἐν Θεσσαλονίκῃ (Pagius ad an. 388). Ἐν δὲ τῷ χρόνῳ τῆς στάσεως καὶ κατὰ τὸν Λιβάνιον καὶ κατὰ τὸν Χρυσόστομον (Τ. 2. σελ. 216, 147, 223) ὁ Θεοδόσιος ἦν ἐν τῇ πρωτευούσῃ αὐτοῦ. Ἀναντίρρητον τοίνυν, ὅτι ἡ στάσις συνέβη τῷ 387.—

(²) Ὁμιλ. κά. εἰς τοὺς ἀνδριάντας.

Οἱ κάτοικοι τῆς Ἀντιοχείας ἡγήσαντο λίαν βαρὺν τὸν φόρον, τὸν ἐπιβληθέντα αὐτοῖς ἕνεκα πολεμικῶν περιστάσεων [α]. Ξένοι τινὲς κωμῳδοί, μιαροὶ καὶ ὀλέθριοι ἄνθρωποι, παρώξυναν τὸν γογγυσμὸν τοῦ λαοῦ μέχρι φανερᾶς λύσσης· ὁ λαὸς ἀνέτρεψε τοὺς αὐτοκρατορικοὺς ἀνδριάντας, κατέσυρε κατὰ τὰς ὁδοὺς καὶ τέλος κατέθραυσεν (1), ἀλλὰ ταχέως ἡ φρίκη καὶ ἡ ἀπόγνωσις ἀντικατέστησαν τὴν μανιώδη λύσσαν (2). Ὁ Χρυσόστομος ἐσίγησεν ἐπὶ ἑπτὰ ἡμέρας (3), καὶ ἔπειτα ἀνέβη τὸ βῆμα μετὰ ἰσχυροῦ λόγου περὶ μετανοίας καὶ παραμυθίας: «Τί εἴπω καὶ τί λαλήσω; δακρύων ὁ παρὼν καιρός, οὐχὶ ῥημάτων· θρήνων, οὐχὶ λόγων· εὐχῆς, οὐ δημηγορίας· τοιοῦτον τῶν τετολμημένων τὸ μέγεθος, οὕτως ἀνίατον τὸ ἕλκος, οὕτω μέγα τὸ τραῦμα, καὶ πάσης ἰατρείας μεῖζον, καὶ τῆς ἄνωθεν δεόμενον βοηθείας. . . . . . . Τὸν χριστιανὸν καὶ ἐν τούτῳ τῶν ἀπίστων διαφέρειν χρή, ἐν τῷ φέρειν γενναίως ἅπαντα, καὶ τῇ τῶν μελλόντων ἐλπίδι πτερούμενον, ἀνώτερον εἶναι τῆς τῶν ἀνθρώπων κακῶν προσβολῆς. Ἐπὶ τῆς πέτρας ἕστηκεν ὁ πιστός, διὰ τοῦτο ταῖς τῶν κυμάτων ἀχείρωτός ἐστι προσβολαῖς. Ἂν γὰρ ἐπαρθῇ τὰ κύματα τῶν πειρασμῶν, οὐκ ἐφικνεῖται τῶν ἐκείνου ποδῶν· οὗτος ὑψηλότερος τῆς ἁπάσης τοιαύτης ἕστηκεν ἐπιβουλῆς. Μὴ τοίνυν καταπέσωμεν, ἀγαπητοί. Οὐχ οὕτως ἡμεῖς φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός· οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινόν, ὡς τῷ τὴν ψυχὴν ἡμῖν χαρισαμένῳ, καὶ τοσαῦτα δόντι μετὰ ταῦτα ἀγαθά. . . .» (4). Ὁ ἀρχιποιμὴν Φλαβιανὸς ἔγνω ἀναδέξασθαι καὶ

[α] Τὸν φόρον τοῦτον ἐπέβαλεν ὁ μέγας Θεοδόσιος μέλλων ἐκστρατεῦσαι εἰς Ἰταλίαν κατὰ τοῦ τυράννου Μαξίμου, ὅς, φονευθέντος τοῦ Αὐτοκράτορος Γρατιανοῦ, ἐγένετο κύριος πολλῶν ἐπαρχιῶν τῆς Ἰταλίας. Σ.Μ.

(1) Τ. 2. σ. 63. Σωζόμ. ζ'. 23.

(2) Τ. 2. σελ. 21. 45.

(3) Τ. 2. σελ. 20.

(4) Τ. 2. σελ. 20. Ἡ πρώτη ὁμιλία εἰς τοὺς ἀνδριάντας ἐξεφωνήθη ὀλίγας πρὸ τῆς στάσεως ἡμέρας (τῷ 387), ὡς ἐκ τῶν τῆς δευτέρας ὁμιλ. §. 3. λόγων ἐξάγεται: «Μακρὰν πρῴην ἀπέτεινα πρὸς τὴν ὑμετέραν ἀγάπην δημηγορίαν... καὶ τῶν πόνων τὸν μισθὸν ἀπείληφα. . . . Τίς δὲ ἦν ὁ μισθός; Τοὺς βλασφήμους τοὺς κατὰ τὴν πόλιν κολάζειν καὶ σωφρονίζειν, τοὺς εἰς

ἀνεδέξατο τὸ βαρὺ ἔργον, μεσιτεῦσαι προσωπικῶς ἐνώπιον τοῦ Αὐτοκράτορος ὑπὲρ τῆς ὑπαιτίου πόλεως, ὁ δὲ Χρυσόστομος οὐ διέλειπε παραμυθούμενος καὶ θεραπεύων τὰς ἀσθενεῖς ψυχάς. «Ἰδοὺ ἄνθρωπος ὑβρίσθη, καὶ πάντες δεδοίκαμεν καὶ τρέμομεν, οἵ τε ὑβρικότες, οἵ τε μηδὲν ἑαυτοῖς συνειδότες τοιοῦτον· ὁ δὲ Θεὸς καθ' ἑκάστην ἡμέραν ὑβρίζεται, τί λέγω καθ' ἑκάστην ἡμέραν; καθ' ἑκάστην μὲν οὖν ὥραν, παρὰ πλουτούντων, παρὰ πενήτων, παρὰ τῶν ἐν ἀνέσει, παρὰ τῶν ἐν θλίψει, παρὰ τῶν ἐπηρεαζόντων, παρὰ τῶν ἐπηρεαζομένων, καὶ οὐδεὶς οὐδαμοῦ λόγος. . . . ὁ Θεὸς καθ' ἑκάστην ὑβρίζεται τὴν ἡμέραν παρὼν καὶ ὁρῶν καὶ ἀκούων, καὶ οὔτε σκηπτὸν ἀφῆκεν, οὔτε τὴν θάλατταν τῇ γῇ ἐπιδραμεῖν ἐκέλευσε καὶ καταποντίσαι πάντας, οὔτε τῇ γῇ διαναστῆναι, καὶ δέξασθαι πάντας τοὺς ὑβρικότας προσέταξεν, ἀλλ' ἀνέχεται καὶ μακροθυμεῖ, καὶ συγγνώσεσθαι ἐπαγγέλλεται τοῖς ὑβρικόσιν, ἂν μετανοήσωσι μόνον, καὶ ὑπόσχωνται μηκέτι ταῦτα ποιεῖν . . . . (1). Ἡ ὁμιλία αὕτη ἐλέχθη τὴν τελευταίαν Κυριακὴν πρὸ τῆς μεγάλης Τεσσαρακοστῆς (2), κατὰ δὲ τὰς ἑπομένας ἓξ ἡμέρας κατὰ συνέχειαν, ὁτὲ μὲν παρεμυθεῖτο καὶ προὔτρεπε τοὺς ἀτυχεῖς πρὸς ὑπομονήν, ὁτὲ δὲ ἐδίδασκε τὴν ὑψηλὴν ἱστορίαν τῆς δημιουργίας τοῦ κόσμου (3). Μετά τινας ἡμέ-

---

τὸν Θεὸν ὑβρίζοντας καὶ παροινοῦντας κατέχειν».—

(1) Ὁμιλ. γ'. σελ. 45. 46.

(2) Ὁμιλ. δ'. σελ. 58.

(3) Ὁτὲ μὲν ἐν αὐτῇ τῇ ἀρχῇ, ὁτὲ δὲ ἐν τῇ συνεχείᾳ ἑκάστης αὐτῶν λέγεται: «Χθὲς διελέχθην» (ὁμιλ. δ'. σελ. 58. έ. σελ. 70. ζ'. 84, 85, 89. ή. σελ. 92). Ἐνταῦθα λέγει: «Πρὸς τὸ τέλος ἡμῖν ἡ ἑβδομὰς ἀπήντησε», δηλ. ἡ ἑβδομὰς τῆς νηστείας, ἐπειδὴ κατὰ τὸ Σάββατον καὶ τὴν Κυριακὴν ἡ νηστεία ἦν ἐλαφροτέρα (πρβλ. ὁμιλ. ιά. εἰς τὴν Γέν. ὁμιλ. δ'. σελ· 84). Ἐννάτην ὁμιλίαν τακτέον ἐκείνην, ἣ ἐν τῇ συλλογῇ τῶν εἰς τοὺς ἀνδριάντας ὁμιλιῶν καλεῖται ιέ., διότι ά.] ἐν αὐτῇ τῇ ἀρχῇ (σελ. 151) λέγει: «ἔδει καὶ τήμερον καὶ τῷ προτέρῳ σαββάτῳ τὸν περὶ νηστείας κινῆσαι λόγον, καὶ μηδεὶς ἄκαιρον νομιζέτω εἶναι τὸ λεχθέν. . . . Ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων εἰσιέναι τε εἰς νηστείαν μέλλοντες, καθάπερ πολιορκίᾳ τινὶ μακρᾷ παραδίδοσθαι μελλούσης τῆς γαστρός, ἀδηφαγίαν καὶ μέθην προλαβόντες ἐπιτίθενται. . . . » πρόδηλον, ὅτι τὸ προηγηθὲν Σάββατον ἦν τὸ πρὸ τῆς ἑβδομάδος

ρας (¹) ἡ ἀγγελία περὶ τῆς δεινῆς τοῦ Αὐτοκράτορος ὀργῆς κατεφόβισεν αὖθις τὸν λαόν. Ὁ Αὐτοκράτωρ ἠπείλει μεταβαλεῖν τὴν Ἀντιόχειαν εἰς κώμην, καὶ στερῆσαι τοὺς στασιαστὰς τῆς ζωῆς, ἔπεμψε δὲ ἐκεῖσε ὑπαλλήλους ποιησομένους αὐστηροτάτην ἀνάκρισιν (²). Πολλοὶ ἠβούλοντο καταλιπεῖν τὴν πόλιν. Ὁ Χρυσόστομος, ἀναβὰς ἐπὶ τὸ βῆμα, καθ᾽ ὃν χρόνον εἰσῆλθεν ὁ ἔπαρχος εἰς τὸν ναόν, ἐπέσχε τὸν λαόν. « Ὑπὲρ ὑμῶν, εἶπεν, ᾐσχύνθην καὶ ἠρυθρίασα, ὅτι τῆς ἔξωθεν ἐδεήθητε παρακλήσεως μετὰ τοὺς πολλοὺς καὶ μακροὺς λόγους ἐκείνους. Ηὐξάμην διαστῆναί μοι τὴν γῆν καὶ καταδῦναι, ὅτε ἤκουον αὐτοῦ (τοῦ ἐπάρχου) πρὸς ὑμᾶς διαλεγομένου, καὶ νῦν μὲν παραμυθουμένου, νῦν δὲ αἰτιωμένου τὴν ἄκαιρον ταύτην καὶ ἄλογον δειλίαν. Οὐ γὰρ ὑμᾶς παρ᾽ ἐκείνου διδάσκεσθαι ἔδει, ἀλλ᾽ ὑμᾶς τοῖς ἀπίστοις ἅπασι γίνεσθαι διδασκάλους» (³). Ἕκαστος δύναται φαντασθῆναι, οἵα ἦν ἡ θέσις τῆς ὑπαιτίου πόλεως, ὅτε ἀφίκοντο οἱ δικασταὶ καὶ ἤρξαντο τῶν ἀνακρίσεων. Τέσσαρες ἡμέραι ἦσαν ἡμέραι φοβεραὶ τῇ Ἀντιοχείᾳ (⁴). Ἀλλ᾽ ἐνεφανίσθησαν μεσῖται οἱ μοναχοί· ὅλας ἡμέρας ἵσταντο πρὸ τῶν θυρῶν τοῦ τρομεροῦ δικαστη-

---

τῆς νηστείας· β΄.] ἐν μὲν τῇ η΄. ὁμιλίᾳ εἶπεν, ὅτι οὐ βούλεται πλέον λέγειν περὶ ὅρκων, ἐν δὲ τῇ ιή. (σελ. 158) λέγει : « καίτοι γε ἑσπέρας συνεταξάμην ὑμῶν τῇ ἀγάπῃ, ὡς οὐκέτι περὶ τῆς ἐντολῆς ταύτης ἐρῶ ». Ἐν τῇ ιέ. ὁμιλίᾳ (σελ. 158) λίαν μακρῶς ἑρμηνεύει τὸ προφητικὸν ὅραμα τοῦ δρεπάνου (Ζαχαρ. ς΄. 1), ἐν δὲ τῇ θ΄. (σελ. 105) διὰ βραχέων μνημονεύει τοῦ περὶ τοῦ δρεπάνου λόγου.

(¹) Ἐν μιᾷ ἡμέρᾳ ἡ μία μετὰ τὴν ἄλλην ἐλέχθησαν ἔτι ἡ θ΄. καὶ ι΄. ὁμιλ. Ἐν ἀμφοτέραις εἴρηται π ρ ῴ η ν (σελ. 98, 108). Τριάκοντα ἡμέρας πρὸ τοῦ Πάσχα ἐλέχθη ἡ πρώτη κατήχησις π ρ ὸ ς τ ο ὺ ς μ έ λ λ ο ν τ α ς φ ω τ ί ζ ε σ θ α ι. Τ. 2. σ. 225.

(²) Ὁμιλ. ιά. σελ. 115. Περὶ τῆς ἀποφάσεως τοῦ Αὐτοκράτορος ἴδ. Λιβάν. Τ. 2. σελ. 407. Περὶ τῆς φήμης τῆς διαδοθείσης πρὸ τῆς ἀφίξεως τῶν δικαστῶν—Ἐλλεβίχου καὶ Καισαρίου ἴδ. ὁμιλ. ιζ΄. σελ. 170.

(³) Ὁμιλ. ις΄. σελ. 161. «Δευτέραν ἑβδομάδα τῆς νηστείας προήλθομεν», σελ. 168. Ἡ ὁμιλία τοίνυν αὕτη ἐλέχθη τῇ πέμπτῃ ἢ τῷ σαββάτῳ τῆς δευτέρας ἑβδομάδος.—

(⁴) Ὁμιλ. ιγ΄. σελ. 133. Τὴν δεινὴν ἀνάκρισιν τῆς ὑποθέσεως διέγραψεν ἐν τῇ ιγ΄. καὶ ιζ΄. ὁμιλ.

ρίου δεόμενοι ὑπὲρ τῶν ἀτυχῶν [α]. Αἱ φρίκαι ἔστησαν· οἱ ἐξετασταὶ τῆς ὑποθέσεως συγκατετέθησαν παραστῆσαι ἅπασαν τὴν ὑπόθεσιν καὶ τὴν παράκλησιν τῶν Ἐρημιτῶν τῷ Αὐτοκράτορι καὶ εἰς τὴν αὐτοῦ διαγνώμην ἀναβαλέσθαι τὸ τέλος(1). Ὁ τοῦ Αὐτοκράτορος ἐπίτροπος Καισάρειος μετέβη μετὰ σπουδῆς εἰς Κωνσταντινούπολιν (2). Ὅτε ἡ ταραχὴ ἤρξατο καταστέλλεσθαι ἐν τῷ ἀσφαλισαμένῳ λαῷ, ὁ Χρυσόστομος (3) ἀνέῳξεν ἐνώπιον τοῦ λαοῦ τὴν καταπληκτικὴν εἰκόνα τῶν ἀνθρωπίνων πραγμάτων: «Ἐγὼ δέ, λέγει, παρακαθήμενος καὶ ταῦτα βλέπων, ὅτι γυναῖκες καὶ παρθένοι θαλαμευόμεναι, νῦν κοινὸν ἐγένοντο θέατρον ἅπασι, καὶ αἱ ἐπὶ στρωμνῆς ἁπαλῆς κατακλινόμεναι, τὸ ἔδαφος ἀντὶ στρωμνῆς ἔχουσι, καὶ αἱ τοσαύτης ἀπολαύουσαι θεραπείας θεραπαινίδων, εὐνούχων, τῆς ἄλλης ἁπάσης φαντασίας, νῦν ἁπάντων ἐκείνων ἔρημοι πρὸς τοὺς ἁπάντων σύρονται πόδας, ἕκαστον παρακαλοῦσαι συνεισενεγκεῖν τι τῶν εἰς αὐτὸν ἡκόντων τοῖς κρινομένοις, καὶ κοινὸν παρὰ πάντων ἐλέου ἔρανον γενέσθαι, ἐφθεγξάμην ἐκεῖνο τὸ τοῦ Σολομῶντος: μα-

---

[α] Εἷς τῶν μοναχῶν τούτων, Μακεδόνιος ὁ θειότατος, ἄνθρωπος ἁπλοῦς καὶ ἀγράμματος, ἐντυχὼν ἐν μέσῳ τῷ ἄστει τοῖς δυσὶ βασιλικοῖς ἐπιτρόποις, κατέσχεν αὐτούς, τῆς χλανίδος θατέρου λαβόμενος, ἐκέλευσε αὐτοὺς καταβῆναι τῶν ἵππων, εἶτα θείας σοφίας ἐμφορηθείς, λέγει αὐτοῖς: «Εἴπατε, ὦ φίλοι ἄνδρες, τῷ βασιλεῖ, οὐ βασιλεὺς εἶ μόνον, ἀλλὰ καὶ ἄνθρωπος. Μὴ τοίνυν μόνον ὅρα τὴν βασιλείαν, ἀλλὰ καὶ τὴν φύσιν λογίζου. Ἄνθρωπος γὰρ ὤν, ὁμοφυῶν βασιλεύεις. Κατ' εἰκόνα δὲ θείαν καὶ ὁμοίωσιν ἡ τῶν ἀνθρώπων δεδημιούργηται φύσις. Μὴ τοίνυν ὠμῶς οὕτω καὶ ἀπηνῶς τοῦ Θεοῦ τὴν εἰκόνα κατασφαγῆναι κελεύσῃς. Παροξυνεῖς γὰρ τὸν Δημιουργὸν τὴν ἐκείνου κολάζων εἰκόνα. Σκόπησον γάρ, ὡς καὶ σὺ χαλκῆς ἕνεκα δυσχεραίνων εἰκόνος, ταῦτα ποιεῖς. Ὅσον δὲ τῆς ἀψύχου διαφέρει ἡ ἔμψυχός τε καὶ ζῶσα καὶ λογική, δῆλον ἅπασι τοῖς γε νοῦν ἔχουσι. Πρὸς δὲ τούτοις λογισάσθω κἀκεῖνα, ὡς ἡμῖν μὲν ῥάδιον ἀντὶ τῆς μιᾶς εἰκόνος πολλὰς δημιουργῆσαι χαλκᾶς· αὐτῷ δὲ πάμπαν ἀδύνατον μίαν γοῦν τῶν ἀναιρεθέντων δημιουργῆσαι τρίχα» (Θεοδ. ἐκκλ. ἱστ. ε΄. 19). Σ. Μ.

(1) Ὁμιλ. ιζ΄. σελ. 173, 174.

(2) Ἀφίκετο ἐκεῖ ἐν 6 ἡμέραις. Λιβάν. Τ. 2. σελ. 519.

(3) Κατὰ τὴν φρίκην τῶν ἀνακρίσεων ἐσιώπα, σελ. 115.

ταιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Εἶδον γὰρ τοῦτό τε αὐτό, καὶ ἕτερον λόγιον δι' αὐτῶν τῶν ἔργων ἐκβαῖνον, τὸ λέγον, ὅτι πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. . . . . Ταῦτα δὴ τότε ὁρῶν, εἰς νοῦν ἐλαβόμην τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ πρὸς ἐμαυτὸν εἶπον· εἰ νῦν, ἀνθρώπων δικαζόντων, οὐ μήτηρ, οὐκ ἀδελφή, οὐ πατήρ, οὐκ ἄλλος οὐδείς, καίτοι γε ἀνεύθυνοι τῶν τολμηθέντων ὄντες, οὐκ ἰσχύουσιν ἐξελέσθαι τοὺς κρινομένους, τίς ἐν τῷ φοβερῷ τοῦ Χριστοῦ δικαστηρίῳ παραστήσεται κρινομένοις ἡμῖν; Τίς τολμήσει ῥῆξαι φωνήν; τίς ἐξελέσθαι τοὺς ἀπαγομένους ἐπὶ τὰς ἀφορήτους ἐκείνας κολάσεις . . . ;» (1). Ὁ Χρυσόστομος, ὁτὲ μὲν παρῄνει ἀπέχεσθαι τῶν ὅρκων, ὁτὲ δὲ ἐδίδασκε τὴν ἀληθῆ νηστείαν καὶ τὰς ἀγαθοεργίας (2). Ἡ μικροψυχία αὖθις

---

(1) Ὁμιλ. ιγ'. σελ. 135. Κατὰ τὸν αὐτὸν χρόνον, δέκα ἡμέρας μετὰ τὴν πρώτην κατήχησιν (ἴδ. σ. 380. σημ. 1.), ἐλέχθη ἡ δευτέρα κατήχησις (Τ. 2. σελ. 134).

(2) Ἐν τῇ ιή. ὁμιλίᾳ, τῇ μετὰ τὴν ιζ'. λεχθείσῃ, εἴρηκε: «Πολλοὺς εἶδον χαίροντας καὶ πρὸς ἀλλήλους λέγοντας, ἐνικήσαμεν, ἐκρατήσαμεν, ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ. Τοὺς δὲ τοιούτους παρακαλῶ μὴ διὰ τοῦτο χαίρειν, ὅτι ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ, ἀλλ' ἐκεῖνο σκοπεῖν, εἰ τῶν ἁμαρτημάτων ἐδαπανήθη τὸ ἥμισυ, καὶ τότε ἀγάλλεσθαι». Καὶ περαιτέρω ψέγει τινάς, οἵτινες, κλεισθέντων τῶν δημοσίων λουτρῶν μετὰ τῶν θεάτρων, ἔσπευσαν λούσασθαι ἐν τῷ ποταμῷ. «Οὔπω εἴκοσιν ἡμέρας ἔχεις τῶν βαλανείων ἀποκλεισθείς». Περὶ τῆς κλείσεως τῶν λουτρῶν καὶ τῶν θεάτρων ἐλέχθη ἐν τῇ ιή. ὁμιλ. τῷ Σαββάτῳ τῆς Α. ἑβδομάδος (ἴδ. σελ. 379. σημ. 2). Ἡ ιή. τοίνυν ὁμιλία ἐλέχθη ἐν τῷ τέλει τῆς τετάρτης ἑβδομάδος τῆς νηστείας. Ἡ ἀνάκρισις ἤρξατο ἐν τῷ τέλει τῆς τρίτης καὶ ἔλαβε πέρας ἐν τῇ ἀρχῇ τῆς τετάρτης. Ὅτι ἡ Τεσσαρακοστὴ συνίστατο ἐν Ἀντιοχείᾳ ἐξ ἑπτὰ ἑβδομάδων, μαρτυρεῖ ὁ Σωζόμενος (ἐκκλησ. ἱστορ. ζ'. 19). Μετὰ τὴν ιή. ὁμιλίαν ἐλέχθησαν ἐν τρισὶν ἡμέραις κατὰ σειρὰν ἡ ιά. ἡ ιβ'. καὶ ἡ ιγ'. αἵτινες ἅπασαι ἄρχονται τῇ εὐχαριστίᾳ τῷ Κυρίῳ ἐπὶ ταῖς παρελθούσαις συμφοραῖς. Ἐν τῇ ιβ'. λέγει: «Καὶ χθὲς εἶπον εὐλογητὸς ὁ Θεός, καὶ σήμερον τὸ αὐτὸ τοῦτο πάλιν ἐρῶ» (σελ. 123). Ἐν τῇ ιγ'. πάλιν ἡ αὐτὴ ἀρχή, τὸ αὐτὸ προοίμιον τοῦ λόγου, «οὗπερ χθὲς καὶ πρὸ ἐκείνης ἠρξάμην» (σελ. 133). Ὁ Κεϊλλίερος καὶ μετ' αὐτὸν ἡ Χριστιαν. Ἀνάγν.

κατεθορυβήθη ὑπὸ ψευδῶν φημῶν, καὶ ὁ ῥήτωρ αὖθις ἠγωνίσατο πρὸς αὐτήν (1). Τέλος ὁ Φλαβιανὸς ἐνεφανίσθη πρὸς τὸν Αὐτοκράτορα μετὰ ἰσχυροῦ χριστιανικοῦ λόγου (2), καὶ ὁ χριστιανὸς Αὐτοκράτωρ συνεχώρησε τοῖς ἀναιδέσιν ὑβρισταῖς τῆς ἀνωτάτης ἐξουσίας [*]. Ἡ περὶ τῆς σωτηρίας εἴδησις ἐκομίσθη ὑπὸ τοῦ Φλαβιανοῦ

ἐν τῇ βιογραφ. τοῦ Χρυσοστ. λέγουσιν, ὅτι συνεστήθη ἐν Ἀντιοχείᾳ ἴδιον δικαστήριον πρὸ τῆς ἀφίξεως τοῦ Ἐλλεβίχου καὶ τοῦ Καισαρίου, καὶ διὰ τοῦτο τὴν ιά. ιβ'. καὶ ιγ'. ὁμιλ. ἀναφέρουσιν εἰς τὴν δευτέραν ἑβδομάδα. Ἀλλὰ τοιοῦτον δικαστήριον οὐχ ὑπῆρξε. Τοὐναντίον ἐκ τοῦ λόγου τοῦ Λιβανίου εἰς τὸν Ἐλλέβιχον (λόγ. κά.) πρόδηλον, ὅτι κατὰ τὴν ἀνάκρισιν τὴν γενομένην ὑπ' αὐτοῦ, συνέβη πᾶν ὅ,τι λέγει ὁ Χρυσόστομος ἐν τῇ ιγ'. ὁμιλίᾳ.—

(1) Ἡ ιδ'. ὁμιλ. ἐλέχθη διὰ τὰς ψευδεῖς φήμας (σελ. 140). Εἰς τί συνίσταντο αἱ φῆμαι αὗται, ἐδηλώθη ἐν τῇ κά. ὁμιλ. σ. 214. «Πολλῶν γοῦν μετὰ τὴν ἀποδημίαν τοῦ κοινοῦ πατρὸς τοὺς τὸ δεσμωτήριον οἰκοῦντας θορυβούντων καὶ λεγόντων, ὡς οὐκ ἀφίησι τῆς ὀργῆς ὁ βασιλεύς, ἀλλὰ παροξύνεται μειζόνως, καὶ περὶ κατασκαφῆς ὁλοκλήρου τῆς πόλεως βουλεύεται, καὶ ἕτερα πολλῷ πλείονα τούτων θρυλούντων, οἱ δεδεμένοι τότε οὐδὲν ἐγίγνοντο ἐκ τῆς φήμης ταύτης δειλότεροι». Ἐν τῷ δεσμωτηρίῳ καθείρχθησαν οἱ ἔνοχοι ὑπὸ τῶν ἀνακριτῶν. Ἐν τῷ τέλει τῆς Τεσσαρακοστῆς ἐλέχθη ἡ κ'. ὁμιλία (σελ. 199 καὶ 203)· ἡ δὲ Τεσσαρακοστὴ κατέληγεν ἐν τῇ Τετάρτῃ τῶν Παθῶν. ἴδ. ὁμιλ. λ'. εἰς τὴν Γένεσιν σελ. 293.—

(2) Ὁ θαυμάσιος οὗτος λόγος ἐτυπώθη ἐν τῇ χριστ. Ἀνάγν. τῷ 1821.

[*] Ἀφικόμενος ὁ γεραρὸς Φλαβιανὸς εἰς Κωνσταντινούπολιν, ἐνεφανίσθη μετὰ σπουδῆς ἐνώπιον τοῦ Θεοδοσίου, δορυφορουμένου ὑπὸ τῶν αὐλικῶν καὶ τῶν ἀρχηγῶν τῆς φρουρᾶς. Κατ' ἀρχὰς μὲν ἔστη μακρὰν τοῦ θρόνου ἐν πολλῇ σιγῇ, κάτω κύπτων καὶ καταπεθλιμμένος, ὡς εἰ εἰκὼν τῆς ἐλεεινῆς Ἀντιοχείας. Ἰδὼν αὐτὸν ὁ Αὐτοκράτωρ, ἐμέμψατο πικρῶς τὴν ἀγνωμοσύνην τῶν Ἀντιοχέων, ὑπέμνησε τὰς εὐεργεσίας, ἃς ἐπεδαψίλευσεν αὐτοῖς, καὶ ἐφ' ἑκάστῳ ἔλεγε: «Ταῦτά με ἀντ' ἐκείνων παθεῖν ἔδει; ποίαν ἀδικημάτων με ταύτην ἐπράξαντο δίκην; τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχοντες, οὐκ εἰς ἐμὲ μόνον, ἀλλὰ καὶ εἰς τοὺς ἀπελθόντας ἐνύβρισαν; οὐκ ἤρκει τὸν θυμὸν στῆναι μέχρι τῶν ζώντων; ἀλλ' εἰμὴ καὶ τοὺς ταφέντας καθυβρίσαιεν, οὐδὲν ἐνόμισαν νεανικὸν ποιεῖν. Ἠδικήκαμεν ἡμεῖς, ὡς αὐτοὶ νομίζουσι· οὐκοῦν τῶν νεκρῶν φείσασθαι ἔδει τῶν

τὴν ἡμέραν τοῦ Πάσχα, ὁ δὲ λαὸς ἦν πλήρης ἐνθουσιασμοῦ. Ὁ ἅγιος Ἰωάννης κατ᾽ αὐτὴν τὴν ἑορτὴν ἐδήλωσε καὶ τὸν λόγον τοῦ ἀρχι-

---

οὐδὲν ἠδικηκότων· οὐ γὰρ δὴ κἀκείνοις τὰ αὐτὰ ἐγκαλεῖν εἶχον. Οὐχὶ ταύτην πάντων προὔθηκα τὴν πόλιν ἀεί, καὶ τῆς ἐνεγκούσης ποθεινοτέραν εἶναι ἐνόμιζον, καὶ εὐχῆς μοι διηνεκοῦς ἔργον ἦν, τὴν πόλιν ἐκείνην ἰδεῖν, καὶ τοῦτον ἐπιούμην ὅρκον πρὸς πάντας;» Ὁ Φλαβιανὸς βαθέως συγκινηθεὶς ὑπὸ τῶν δικαίων τούτων μομφῶν, πικρὸν ἀνοιμώξας, καὶ θερμότερα ἀφεὶς δάκρυα, ἔλυσε τέλος τὴν σιωπήν, καὶ διὰ φωνῆς ὑπὸ λυγμῶν διακοπτομένης, ὡμολόγησε καὶ αὐτὸς ζωηρῶς τὰς εὐεργεσίας τοῦ Θεοδοσίου καὶ τὴν παραφορὰν τοῦ λαοῦ τῆς Ἀντιοχείας, ἣν ἀπέδωκε τῷ φθόνῳ τῶν καταχθονίων πνευμάτων. Μετὰ δὲ ταῦτα λέγει αὐτῷ: «. . . Καθεῖλόν σου τοὺς ἀνδριάντας; ἀλλ᾽ ἔξεστί σοι λαμπροτέρους ἀναστῆσαι ἐκείνων. Ἂν γὰρ ἀφῇς τοῖς ἠδικηκόσι τὰ ἐγκλήματα, καὶ μηδεμίαν ἀπαιτήσῃς δίκην αὐτούς, οὐ χαλκοῦν σε ἐπὶ τῆς ἀγορᾶς ἀναστήσουσιν, οὐδὲ χρυσοῦν, οὐδὲ λιθοκόλλητον, ἀλλὰ τὴν πάσης ὕλης τιμιωτέραν στήλην, φιλανθρωπίαν καὶ ἐλεημοσύνην ἀναβεβλημένον. Οὕτως ἐπὶ τῆς διανοίας ἕκαστος ἀναστήσουσί σε τῆς ἑαυτῶν, καὶ τοσούτους ἕξεις ἀνδριάντας, ὅσοι τὴν οἰκουμένην οἰκοῦσιν ἄνθρωποι, καὶ οἰκήσουσιν. Οὐ γὰρ ἡμεῖς, ἀλλὰ καὶ οἱ μεθ᾽ ἡμᾶς, καὶ οἱ μετ᾽ ἐκείνους ἅπαντες ταῦτα ἀκούσονται· καὶ καθάπερ εὖ παθόντες αὐτοί, οὕτω σε θαυμάσονται καὶ φιλήσουσι. Καὶ ὅτι ταῦτα οὐ κολακεύων λέγω, ἀλλ᾽ οὕτως ἔσται πάντως, ἐρῶ σοι παλαιόν τινα λόγον, ἵνα μάθῃς ὅτι οὐχ οὕτω στρατόπεδα καὶ ὅπλα καὶ χρήματα καὶ ὑπηκόων πλῆθος καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα λαμπροὺς ποιεῖν τοὺς βασιλεῖς εἴωθεν, ὡς φιλοσοφία ψυχῆς καὶ ἡμερότης. Ὁ μακάριος λέγεται Κωνσταντῖνος, τῆς εἰκόνος αὐτοῦ καταλευσθείσης ποτέ, παροξυνόντων αὐτὸν πολλῶν ἐπεξελθεῖν τοῖς ὑβρικόσι καὶ δίκην ἀπαιτῆσαι, καὶ λεγόντων, ὅτι πᾶσαν αὐτοῦ τὴν ὄψιν ἔτρωσαν, τοὺς λίθους ἐξακοντίζοντες, ψηλαφήσας τῇ χειρὶ τὸ πρόσωπον, καὶ ἠρέμα μειδιάσας, εἶπεν, ὅτι οὐδαμοῦ πληγὴν ἐπὶ τοῦ μετώπου γεγενημένην ὁρῶ, ἀλλ᾽ ὑγιὴς μὲν ἡ κεφαλή, ὑγιὴς δὲ ἡ ὄψις ἅπασα, κἀκείνους ἐρυθριάσαντας καὶ αἰσχυνθέντας ἀποστῆναι τῆς ἀδίκου ταύτης συμβουλῆς. Καὶ τὸ ῥῆμα τοῦτο μέχρι νῦν ᾄδουσιν ἅπαντες, καὶ τοσοῦτος χρόνος οὐκ ἐμάρανεν, οὐκ ἔσβεσε τῆς φιλοσοφίας ταύτης τὴν μνήμην. Πόσων οὐκ ἂν εἴη τοῦτο τροπαίων λαμπρότερον; . . . Καὶ τί χρὴ λέγειν Κωνσταντῖνον καὶ τὰ ἀλλότρια παραδείγματα, δέον οἴκοθέν σε καὶ ἐκ τῶν σῶν παρακαλεῖν κατορθωμάτων; Μέμνησαι πρώην, ὅτε τῆς ἑορτῆς ταύτης καταλαβού-

ποίμενος πρὸς τὸν Αὐτοκράτορα καὶ τὴν τούτου ἔγγραφον διαταγὴν, καὶ ἐν τῷ ἐπιλόγῳ εἶπεν: « Εὐφροσύνην εὐφραινόμενοι πνευματικὴν καὶ τῷ Θεῷ διηνεκῶς ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦντες μὴ δια-

σης ἐπιστολὴν ἔπεμψας πανταχοῦ τῆς οἰκουμένης κελεύουσαν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφεῖναι, καὶ συγχωρεῖν αὐτοῖς τὰ ἐγκλήματα, καὶ ὡς οὐκ ἀρκούντων ἐκείνων δεῖξαί σου τὴν φιλανθρωπίαν, ἔλεγες διὰ τῶν γραμμάτων, ὅτι εἴθε μοι δυνατὸν ἦν καὶ τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι, καὶ πρὸς τὴν προτέραν ἀναγαγεῖν ζωήν! Τούτων ἀναμνήσθητι τῶν ῥημάτων νῦν· ἰδοὺ καιρὸς τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι, καὶ πρὸς τὴν προτέραν ἐπαναγαγεῖν ζωήν. Καὶ οὗτοι γὰρ ἤδη τεθνήκασι, καὶ πρὶν ἢ τὴν ψῆφον ἐξενεχθῆναι, καὶ παρ' αὐτὰς ἡ πόλις ἐσκήνωται τὰς τοῦ ᾅδου πύλας νῦν. Ἀνάστησον οὖν αὐτὴν ἐκεῖθεν χωρὶς χρημάτων, χωρὶς δαπάνης, χωρὶς χρόνου καὶ πόνου τινός. Ἀρκεῖ γάρ σοι φθέγξασθαι μόνον, καὶ ἀναστῆσαι τὴν πόλιν τὴν ἐν σκότῳ κειμένην. Νῦν δὸς αὐτὴν καλεῖσθαι λοιπὸν ἀπὸ τῆς Σῆς φιλανθρωπίας· οὐδὲ γὰρ τοσαύτην εἴσεται χάριν τῷ παρὰ τὴν ἀρχὴν αὐτὴν οἰκίσαντι, ὅσην τῇ ψήφῳ τῇ Σῇ· καὶ μάλα εἰκότως . . . Ἐννόησον ὅτι νῦν, οὐ περὶ τῆς πόλεώς Σοι βουλευτέον μόνον ἐστὶν ἐκείνης, ἀλλὰ καὶ περὶ τῆς δόξης τῆς Σῆς, μᾶλλον δὲ καὶ περὶ τοῦ χριστιανισμοῦ παντός. Νῦν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, καὶ πᾶσα ἡ οἰκουμένη καὶ βάρβαροι (καὶ γὰρ κἀκεῖνοι ταῦτα ἤκουσαν) πρὸς Σὲ κεχήνασιν, ἀναμένοντες ἰδεῖν, οἵαν οἴσεις κατὰ τῶν γεγενημένων τὴν ψῆφον· κἂν μὲν φιλάνθρωπον ἐξενέγκῃς καὶ ἥμερον, ἐπαινέσονται τὸ δόγμα πάντες, καὶ δοξάσουσι τὸν Θεόν, καὶ πρὸς ἀλλήλους ἐροῦσι. Βαβαί, πόση τοῦ Χριστιανισμοῦ ἡ δύναμις! ἄνθρωπον οὐδένα ἔχοντα ὁμότιμον ἐπὶ τῆς γῆς, κύριον ὄντα ἀπολέσαι πάντα καὶ διαφθεῖραι, κατέσχε καὶ ἐχαλίνωσε, καὶ φιλοσοφεῖν ἐπαίδευσε φιλοσοφίαν, ἣν οὐδ' ἂν ἰδιώτης ἄνθρωπος ἐπεδείξατο. Ὄντως μέγας ὁ τῶν Χριστιανῶν Θεός, ὃς ἐξ ἀνθρώπων ἀγγέλους ποιεῖ καὶ πάσης ἀνάγκης φυσικῆς ἀνωτέρους καθίστησιν . . . Ἐννόησον γὰρ ἡλίκον ἐστὶ τοὺς μετὰ ταῦτα πάντας ἀκούειν, ὅτι πόλεως οὕτω μεγάλης καὶ ὑπευθύνου κολάσει καὶ τιμωρίᾳ γενομένης, πεφρικότων ἁπάντων, καὶ δεδοικότων στρατηγῶν καὶ ὑπάρχων καὶ δικαστῶν, καὶ οὐδὲ φωνὴν ῥῆξαι τολμώντων ὑπὲρ τῶν ἀθλίων ἐκείνων, εἷς παρελθὼν πρεσβύτης τοῦ Θεοῦ τὴν ἱερωσύνην ἐγκεχειρισμένος, ἀπὸ τῆς ὄψεως μόνης αὐτῆς καὶ ψιλῆς τῆς συντυχίας ἐνέτρεψε τὸν κρατοῦντα· καὶ ὃ μηδενὶ τῶν ὑπ' αὐτὸν ἐχαρίσατο, ἑνὶ γέροντι τοῦτο ἔδωκε, τοὺς τοῦ Θεοῦ νόμους αἰδεσθείς. Καὶ γὰρ

λείπωμεν, μηδ' ὅτι μόνον ἔλυσε τὰ δεινά, ἀλλ' ὅτι καὶ συνεχώρησεν αὐτὰ γενέσθαι, καὶ πολλὴν αὐτῷ χάριν ὁμολογῶμεν· δι' ἀμφοτέρων γὰρ ἡμῖν τὴν πόλιν ἐκόσμησε» [*].

καὶ τούτῳ αὐτῷ οὐ μικρῶς σε, ὦ βασιλεῦ, τετίμηκεν ἡ πόλις, ἐμὲ πρὸς τὴν πρεσβείαν ταύτην ἀποστείλασα· ψῆφον γὰρ ἀρίστην ἐξήνεγκαν περὶ Σοῦ καὶ καλλίστην, ὅτι τῆς ἀρχῆς ἁπάσης, τῆς ὑπὸ Σὲ κειμένης, τοῦ Θεοῦ τοὺς ἱερέας προτιμᾷς, κἂν εὐτελεῖς ὄντες τύχωσιν. Οὐ παρ' ἐκείνων δὲ ἥκω νῦν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων παρὰ τοῦ κοινοῦ τῶν ἀγγέλων ἀπέσταλμαι Δεσπότου, ταῦτα εἰπεῖν πρὸς τὴν ἡμερωτάτην Σου καὶ πρᾳοτάτην ψυχήν, ὅτι ἂν ἀφῆτε τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ Πατὴρ ἡμῶν ὁ Οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν. Ἀναμνήσθητι τοίνυν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἅπαντες δίκην δώσομεν περὶ τῶν πεπραγμένων· ἐννόησον, ὅτι εἰ καί τί σοι ἡμάρτηται, πάντα ἀπονίψασθαι δυνήσῃ τὰ πλημμελήματα διὰ τῆς ψήφου καὶ τῆς γνώμης ταύτης, χωρὶς πόνων, χωρὶς ἱδρώτων. Ἄλλοι μὲν οὖν πρεσβευόμενοι, χρυσίον καὶ ἀργύριον καὶ ἕτερα τοιαῦτα δῶρα κομίζουσιν· ἐγὼ δὲ μετὰ τῶν ἱερῶν πρὸς τὴν Σὴν βασιλείαν ἀφῖγμαι νόμων, καὶ ἀντὶ δώρων ἁπάντων τούτους προτείνω· καὶ παρακαλῶ Σε μιμήσασθαί σου τὸν Δεσπότην, ὃς καθ' ἡμέραν παρ' ἡμῶν ὑβριζόμενος, οὐ διαλιμπάνει τὰ παρ' ἑαυτοῦ χορηγῶν ἅπασι· καὶ μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας, μηδὲ ἐλέγξῃς τὰς ὑποσχέσεις. Καὶ γὰρ καὶ τοῦτό σε μετὰ τῶν ἄλλων εἰδέναι βούλομαι, ὅτι, εἰ μὲν βουληθείης καταλλαγῆναι καὶ τῆς προτέρας εὐνοίας μεταδοῦναι τῇ πόλει, καὶ τὴν ὀργὴν ἀφεῖναι τὴν δικαίαν ταύτην, μετὰ πολλῆς ἀπελεύσομαι τῆς παρρησίας· εἰ δὲ ἐκβάλοις τὴν πόλιν τῆς διανοίας τῆς Σῆς, οὐ μόνον οὐκ ἐπιβήσομαι, οὐδὲ ὄψομαι αὐτῆς τὸ ἔδαφος, ἀλλὰ καὶ ἀρνήσομαι αὐτὴν καθάπαξ λοιπόν, καὶ εἰς ἑτέραν ἐμαυτὸν ἐγγράψω πόλιν. Μὴ γάρ μοι γένοιτο πατρίδα ἐπιγράψασθαί ποτε ἐκείνην, πρὸς ἣν ὁ φιλανθρωπότατος Σὺ καὶ πάντων ἀνθρώπων ἡμερώτατος οὐκ ἂν ἕλοιο σπείσασθαι καὶ καταλλαγῆναι» (ὁμιλ. κά. §. 3). Πρὸς τὸν λόγον τοῦ Φλαβιανοῦ ὁ Αὐτοκράτωρ ἐδάκρυσε κατὰ διάνοιαν, ἀλλὰ διὰ τοὺς παρόντας οὐκ ἐδείκνυτο. Τέλος ὁ Αὐτοκράτωρ οὐ δυνάμενος κατασχεῖν τὰ δάκρυα αὐτοῦ, εἶπε: «Καὶ τί θαυμαστὸν καὶ μέγα, εἰ τοῖς ὑβρικόσιν, ἀφήσομεν τὴν ὀργὴν ἀνθρώποις οὖσιν ἄνθρωποι καὶ αὐτοὶ τυγχάνοντες, ὅπου γε ὁ τῆς Οἰκουμένης Δεσπότης ἐπὶ γῆς ἐλθὼν καὶ δι' ἡμᾶς γενόμενος δοῦλος, καὶ παρὰ τῶν εὐεργετηθέντων σταυρωθεὶς ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν παρεκάλει τὸν Πατέρα, λέγων: Ἄφες αὐτοῖς, οὐ

Καὶ δικαίως ἠδύνατό τις ἐπὶ τούτῳ εὐχαριστῆσαι τῷ Κυρίῳ, κατ᾽ ἐξοχὴν δὲ ὁ ἱερὸς ῥήτωρ. « Ἤδη μὲν οὖν» λέγει «μίαν ἐκρούσαμεν νευρὰν δι᾽ ὅλης τῆς Τεσσαρακοστῆς, τὸν περὶ τῶν ὅρκων νόμον ὑμῖν ἀναγινώσκοντες, καὶ διὰ τὴν τοῦ Θεοῦ χάριν πολλὰ στόματα τῶν ἀκροατῶν ἡμῖν ἐπαιδεύθη τὴν τοῦ νόμου μελῳδίαν ἐκείνου, καὶ τὴν πονηρὰν ἀπελάσαντες συνήθειαν ἀντὶ τοῦ τὸν Θεὸν ὀμνῦναι, τὸ ναὶ καὶ τὸ οὔ, καὶ τὸ πίστευσον ἐπὶ στόματος φέρουσιν» (1). Ἀλλὰ τοῦτο ὀλίγον.—Αἱ συμφοραὶ διέσεισαν τὰς καρδίας πολλῶν ἐθνικῶν· ὁ δὲ λόγος τοῦ Χρυσοστόμου, ἐμψυχώσας τοὺς πιστοὺς ἐν τῷ μέσῳ τῶν συμφορῶν, ἐδείκνυ τοῖς ἀπίστοις τὴν δύναμιν τῆς πίστεως, καὶ ὁ θεῖος διδάσκαλος εἶχε τὴν παραμυθίαν δεικνύειν τοῖς κατηχουμένοις ἐθνικοῖς τὴν διαφορὰν τοῦ χριστιανισμοῦ ἀπὸ τοῦ ἐθνισμοῦ(2). Ὁ Χρυσόστομος μετὰ τὰς ἡμέρας τοῦ Πάσχα ἀπειρηκὼς τοῖς πόνοις καὶ τοῖς συμβεβηκόσιν, ἠσθένησεν, καὶ οὐκ ἠδύνατο κηρύττειν ἡμέρας τινὰς τῶν μαρτύρων. Ἀλλὰ ἡ ψυχὴ αὐτοῦ ἦν πλήρης αἴνου ὑπὲρ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τῆς τοσοῦτον σοφῶς διοικουμένης ὑπὸ τοῦ ὑπερτάτου ποιμένος, καὶ ἔσπευσεν ἀνατρέφειν δι᾽ αὐτὴν ἐν τοῖς νέοις υἱοῖς πιστὰ τέκνα. Μετὰ τὴν ἑορτὴν τῆς Ἀναλήψεως τοῦ Κυρίου (3) ἐν ταῖς εἰς τὴν Ἄνναν ὁμιλίαις ἐξεικόνισε μετὰ ζωηρότητος, οἵας δεῖται προσοχῆς ἡ τῶν παίδων ἀνατροφή. « . . . Ἐὰν δὲ γένῃ μήτηρ, ἀνάθες σου καὶ σὺ τὸν υἱόν. Ἐκείνη εἰς ναὸν ἀνήγαγε, σὺ ναὸν κατασκεύασον

γὰρ εἴδασι τί ποιοῦσι». Σύναμα δὲ προὔτρεψε τὸν γέροντα ἐπανελθεῖν εἰς Ἀντιόχειαν, ἵνα κομίσῃ τὰ εὐαγγέλια τῷ λαῷ κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα. Σ. Μ.—

[*] Ὁμιλ. κα΄.

(1) Τόμ. 3. σελ. 2.

(2) Περὶ τούτου ὁμιλεῖ αὐτὸς ἐν τῇ Α. ὁμιλίᾳ εἰς τὴν Ἄνναν Τ. 4. σελ. 810. edit. Mygne.

(3) Ἡ ιθ΄. ὁμιλ. εἰς τοὺς ἀνδριάντας ἐλέχθη τῇ Κυριακῇ τῆς ἐπισωζομένης. Οὕτως ἐκαλεῖτο ἐν Καππαδοκίᾳ ἡ Κυριακὴ τῆς πέμπτης ἑβδομάδος μετὰ τὸ Πάσχα (Allatius de consensu pag. 1460). Ἐν Αντιοχείᾳ κατὰ τοῦτον τὸν χρόνον συνῆλθον οἱ ἐκ τῶν κωμῶν ἱερεῖς (σελ. 189), καὶ ὁ Χρυσόστομος διέγραψεν ἐν τῷ παραδείγματι αὐτῶν, τοῖς κατοίκοις τῆς πολυτελοῦς μητροπόλεως τὸ παράδειγμα τοῦ φιλοπόνου καὶ τιμίου βίου. Περὶ τῆς συνάξεως ταύτης καὶ τοῦ χρόνου γίγνεται λόγος ἐν τῇ πρώτῃ ὁμιλίᾳ εἰς τὴν Ἄνναν (Τ. 4. σελ. 700).—

σαυτὴν βασιλικόν. Τὰ γὰρ μέλη, φησίν, ὑμῶν σῶμα τοῦ Χριστοῦ ἐστι, καὶ ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματος· καὶ πάλιν, ἐνοικήσω ἐν ὑμῖν αὐτοῖς, καὶ ἐμπεριπατήσω.... εἰ δὲ περὶ τὸν ναὸν ἐκεῖνον ἡ ὀλιγωρία τοσαύτην ἐξήγειρε τοῦ Θεοῦ τὴν ὀργήν, πολλῷ μᾶλλον ἡ τοῦ ναοῦ τούτου ῥαθυμία παροξυνεῖ τὸν Δεσπότην. Πολὺ γὰρ οὗτος ἐκείνου τιμιώτερος, ὅσῳ καὶ μείζονα ἔχει τῆς ἁγιαστίας τὰ σύμβολα. Μὴ τοίνυν ἀφῇς τοῦ Θεοῦ τὸν οἶκον σπήλαιον γενέσθαι λῃστῶν, ἵνα μὴ καὶ ἑτέραν ἐπιτίμησιν ἀκούσῃς, ἣν πρὸς τοὺς Ἰουδαίους ὁ Χριστὸς ἐποιήσατο, λέγων, ὁ οἶκος τοῦ Πατρός μου, οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν.....» (¹).

Μετὰ τοῦτο ἠσθένησε πάλιν, καὶ κατὰ τὴν πρώτην συνέντευξιν μετὰ τῶν φίλων, δηλονότι τῶν ἀκροατῶν, ἐπανηγύρισε τὴν ἀνάρρωσιν αὐτοῦ τῇ ὁμιλίᾳ περὶ τοῦ ἀφιέναι τοῖς ἄλλοις τὰ ὀφειλήματα αὐτῶν (²)· ἔπειτα δὲ ἐξεφώνησε τὰς τρεῖς ὁμιλίας εἰς τὰ κατὰ τὸν Δαυῒδ καὶ τὸν Σαούλ (³), δεικνὺς διὰ τοῦ παραδείγματος τοῦ πρώτου τὴν συγχώρησιν τῶν ἰδίων ἐχθρῶν, καὶ τὴν πρὸς τοὺς ἐχθροὺς ἀγάπην· ἑτέραν δ' ἔτι ὁμιλίαν ἐξεφώνησεν εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν: «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν» (⁴).

Κατὰ Αὔγουστον ὁ πλήρης ἐνθέου ζήλου πρόμαχος τῆς καθαρᾶς εἰς Χριστὸν πίστεως πάλιν ἐπανέλαβε τοὺς κατὰ Ἰουδαίων ἐλέγχους· ἔγραψε βιβλίον πρός τε Ἰουδαίους καὶ Ἕλλη-

(¹) Ὁμιλ. γ'. εἰς τὴν Ἄνναν Τόμ. 4. σελ. 802. Ἐκ μιᾶς τῶν ἓξ ὁμιλιῶν γίγνεται δῆλον (Τ. 4 σελ. 733), ὅτι ἐλέχθη ἔτι μία ὁμιλία, νῦν οὐχ ὑπάρχουσα. Ἡ τελευταία ἐλέχθη μετὰ τὴν Πεντηκοστὴν (σελ. 741), καὶ ἐπειδὴ ἐνταῦθα ἐπ' ἴσης λέγεται (σελ. 730) «ἅπαξ τῆς ἑβδομάδος ἐνταῦθα συλλεγόμεθα», πρὸ τῆς Πεντηκοστῆς ἐλέχθη ἐν Κυριακῇ μόνον μία τούτων.—

(²) Εἰς τὴν παραβολὴν τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος Τ. 3. σελ. 1.

(³) Τ. 4. σελ. 748. «Πρώην μὲν οὖν ὑμῖν τὴν παραβολὴν ἀναγνόντες τῶν ἑκατὸν δηναρίων καὶ τῶν μυρίων ταλάντων, ἐδείκνυμεν ὅσον ἦν κακὸν τὸ μνησικακεῖν, κ.τ.λ.»—

(⁴) Ἐλέχθη ἐν καιρῷ καύσωνος. Τ. 1. σελ. 157. 159.

νας, ὅτι ἐστὶ Θεὸς ὁ Χριστός[α]. Ἔπειτα δὲ ἐξεφώνησε πέν-

[α] Ἐν τῷ βιβλίῳ τούτῳ περιέχονται πολλὰ πλείστου λόγου ἄξια, ἅτινα οὐ δεῖ σιγῇ παρελθεῖν. Ἐνταῦθα γίγνεται λόγος περὶ τῆς Θεότητος τοῦ Χριστοῦ, ἣν οἱ Ἀνόμιοι καὶ πάντες οἱ ἄλλοι Ἀρειανοὶ ἢ ἠρνοῦντο, λέγοντες τὸν Χριστὸν Θεὸν μὲν εἶναι, ἀλλ' οὐκ ἀληθῶς Θεόν, ἢ διὰ τοῦ στόματος μόνον ὡμολόγουν, Θεὸν ἁπλῶς αὐτὸν καλοῦντες. Οἱ δὲ Ἰουδαῖοι καὶ οἱ Ἐθνικοὶ ὁλοτελῶς ἀπέρριπτον αὐτήν. Ἄρχεται δὲ λέγων, ὅτι τὸ σύγγραμμα τοῦτο ἔσται σύντομον καὶ οὐ κεκαλλωπισμένον ῥήμασί τε καὶ ὀνόμασιν, ἵνα καὶ οἰκέτῃ καὶ θεραπενίδι, καὶ χήρᾳ γυναικί, καὶ καπήλῳ καὶ ναύτῃ καὶ γηπόνῳ ᾖ ῥᾴδιον καὶ εὔληπτον. Ἔπειτα δείκνυσι τοῖς Ἐθνικοῖς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, ὅπερ, καίπερ ἁπάντων τῶν ἐθνῶν ἀντιτασσομένων, ἐξηπλώθη ἀνὰ πᾶσαν τὴν οἰκουμένην. Οὐ μόνον ἡ ἔλευσις τοῦ Χριστοῦ, λέγει, προεφητεύθη, ἀλλὰ καὶ ὁ τρόπος αὐτῆς καὶ ἡ συνδρομὴ τῶν ἐθνῶν πρὸς παραδοχὴν τῆς πίστεως. Ἐνταῦθα πᾶσα ἡ οἰκουμένη συντρέχει ἰδεῖν τὴν Βιθλεέμ, ἔνθα τεχθεὶς ἐτέθη. Οἱ δὲ Ἰουδαῖοι, λέγει, μέχρι τοῦ νῦν μένουσιν ἀχάριστοι, ὡς ἐν πολλοῖς τῶν Προφητῶν χωρίοις προεφητεύετο. Ἀποδείκνυσιν, ὅτι προηγγέλθη ὁ τάφος τοῦ Χριστοῦ· ὅτι ὁ Πέτρος καὶ ὁ Παῦλος γεγόνασι μείζονες, καὶ ἰσχυρότεροι βασιλέων καὶ αὐτοκρατόρων, οἵτινες τοὺς νόμους αὐτῶν ἀπεκύρωσαν, ἀνθ' ὧν κατέστησαν τὰς ἐντολὰς τοῦ Χριστοῦ· ἀποδείκνυσιν, ὅτι προεφητεύθη ἡ κατάλυσις τῆς ἰουδαϊκῆς λατρείας καὶ ἡ μέλλουσα τοῦ σύμπαντος κρίσις. Τέλος δὲ τὴν ὑπεροχὴν καὶ τὴν τιμὴν τοῦ Σταυροῦ διὰ πλειόνων δείκνυσιν. « οὐδὲ γὰρ οὕτω, λέγει, στέφανος βασιλικὸς καλλοπίζει κεφαλήν, ὡς σταυρός, παντὸς κόσμου τιμιώτερος ὤν· καὶ ὃ ἅπαντες ἐπεφρίκεσαν πρώην, τούτου νῦν τὸ σχῆμα οὕτως ἐστὶν ἅπασι περιμάχητον, ὡς πανταχοῦ τοῦτο εὑρίσκεσθαι παρὰ ἄρχουσι, παρὰ ἀρχομένοις, παρὰ γυναιξί, παρὰ ἀνδράσι, παρὰ παρθένοις, παρὰ γεγαμημέναις, παρὰ δούλοις, παρὰ ἐλευθέροις. Καὶ γὰρ συνεχῶς αὐτὸ ἅπαντες ἐγχαράττουσιν ἐπὶ τοῦ τῶν μελῶν ἡμῶν ἐπισημοτέρου μέρους, καὶ ὥσπερ ἐν στήλῃ, ἐπὶ τοῦ μετώπου καθ' ἑκάστην ἡμέραν διατυπούμενον, περιφέρουσιν. Οὗτος ἐν τῇ ἱερᾷ τραπέζῃ, οὗτος ἐν ταῖς τῶν ἱερέων χειροτονίαις, οὗτος πάλιν μετὰ τοῦ σώματος τοῦ Χριστοῦ ἐπὶ τὸ μυστικὸν δεῖπνον διαλάμπει· τοῦτον πανταχοῦ χορεύοντα ἴδοι τις ἄν, ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν ἐρημίαις, ἐν ὁδοῖς, ἐν ὄρεσιν, ἐν νάπαις, ἐν βουνοῖς, ἐν θαλάττῃ καὶ πλοίοις καὶ νήσοις, ἐν κλίναις, ἐν ἱματίοις, ἐν ὅπλοις, καὶ ἐν παστάσιν, ἐν συμποσίοις, ἐν σκεύεσιν ἀργυροῖς, ἐν χρυ-

τε λόγους κατὰ Ἰουδαίων[1] καὶ τὴν ἐξαίρετον ὁμιλίαν εἰς τὸν μα΄. ψαλμόν: «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων». Καὶ τίνος χάριν ὁ ψαλμὸς εἰς τὸν βίον εἰσενεχθείς, μετ᾿ ᾠδῆς ψάλλεται. Καὶ περὶ τῆς τοῦ Θεοῦ μακροθυμίας[2].

σέοις, ἐν μαργαρίταις, ἐν τοίχων γραφαῖς, ἐν σώμασιν ἀλόγων πολλὰ πεπονηκότων, ἐν σώμασιν ὑπὸ δαιμόνων πολιορκουμένων, ἐν πολέμοις, ἐν εἰρήνῃ, ἐν ἡμέραις, ἐν νυξίν, ἐν τρυφόντων χορείαις, ἐν σκληραγωγουμένων φρατρίαις· οὕτω περιμάχητον ἅπασι γέγονε τὸ θαυμαστὸν τοῦτο δῶρον, ἡ ἄφατος αὕτη χάρις. ....» Τελευταῖον δὲ διηγεῖται ὅτι οἱ Ἰουδαῖοι, εὐνοοῦντος αὐτοῖς τοῦ κατὰ τὴν ἀσέβειαν ἅπαντας ὑπερακοντίσαντος Αὐτοκράτορος, δηλ. Ἰουλιανοῦ τοῦ Παραβάτου, εἰς μάτην ἐπειράσαντο ἀνακαινίσαι τὸν ναόν. Σ Μ.

(1) Τ. 1. σελ. 558. Οἱ λόγοι, οἱ νῦν κατὰ Ἰουδαίων ἐκφωνηθέντες εἰσιν οἱ δ΄ ε΄ ς΄ ζ΄ η΄ Τ. 1. σελ. 616. 627. 649. 662. 673. Ἐν τῷ πρώτῳ λέγει (σελ 616.): «... μετὰ δέκα καὶ πλείους ἡμέρας τῆς νηστείας ἐκείνης ἀπαντᾷν μελλούσης, ἡμεῖς ἐντεῦθεν ἤδη καθοπλιζόμεθα ....». Ἐν τῷ ἕκτῳ (σελ. 659) γίγνεται μνεία περὶ τῆς καταρρίψεως τῶν ἐν Ἀντιοχείᾳ ἀνδριάντων· πάντες δ᾿ ἐλέχθησαν ἀλληλοδιαδόχως, ὡς δείκνυται ἐν τῇ ἀρχῇ ἑκάστου. Ἐν τῷ ὀγδόῳ ἐκφωνηθέντι μετὰ τὸ τέλος τῶν Ἰουδαϊκῶν ἑορτῶν (σελ. 673) προτρέπει ὁ Θεῖος διδάσκαλος πρὸς μετάνοιαν τοὺς πεσόντας κατὰ τὰς ἑορτάς, βουλόμενος οὐ ψέξαι αὐτούς, ἀλλὰ διορθῶσαι.

(2) Τ 5. σ. 131. Ἐν αὐτῇ τῇ ἀρχῇ ἐπάγεται τὰς πρώην ἐκφωνηθείσας ὁμιλίας (ζ καὶ δ) κατὰ Ἰουδαίων. Εἰς τὸ ἔτος τοῦτο ἀνενεκτέον τοὺς ἐκφωνηθέντας κατὰ Νοέμβριον λόγους: εἰς τὴν περικοπὴν τοῦ Ἀποστόλου. «Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην» (Γαλ. β΄. 6). Τ. 3. σελ. 363, εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Εὐστάθιον. Τ. 2. σελ. 603. εἰς τὸν ἅγιον μάρτυρα Ρωμανόν. Τ. 2. σελ. 611, εἰς τὸ ρητὸν τοῦ προφήτου Ἱερεμίου.: «Κύριε οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται, καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ». Τ. 6. σελ. 157. Ἐν τῷ τελευταίῳ τούτῳ (σελ. 158.) δείκνυται, ὅτι οἱ λόγοι οὗτοι ἐλέχθησαν ἐν τέσσαρσιν ἡμέραις κατὰ συνέχειαν. Ἡ μνήμη τοῦ ἁγίου Ρωμανοῦ τελεῖται, κατὰ τὸν Μεταφραστήν, τῇ ιη΄. Νοεμβρίου, ἑπομένως ἡ τοῦ ἁγίου Εὐσταθίου—ἐτελεῖτο τῇ ιζ΄Νοεμβρίου, ἀλλὰ νῦν τῇ κά Φεβρουαρίου. Ἡ ὁμι-

§. 169. β'. Ἀπὸ τῆς μεγάλης Τεσσαρακοστῆς τοῦ 388ου μέχρι τοῦ 398ου ἔτους.

Πλέον τῶν δύο ἐτῶν ὁ ἅγιος Χρυσόστομος ἠσχολήθη περὶ τὴν ἑρμηνείαν μερικῶν χωρίων τοῦ λόγου τοῦ Θεοῦ, καὶ τοῦτο ἦν ἱκανὸν πρὸς τὴν ὑπὸ λαϊκῶν κατανόησιν τῆς ἑρμηνείας ὅλων βιβλίων τῆς ἁγίας Γραφῆς. Ἀλλ' ὁ πλήρης ἐνθέου ζήλου ρήτωρ ἐπόθει ἀγαγεῖν τοὺς ἀκροατὰς αὐτοῦ ἐπὶ μᾶλλον πρὸς τὴν πνευματικὴν τελειότητα. Ἐπιστάσης τῆς μεγάλης Τεσσαρακοστῆς τοῦ 388, ἤρξατο ὁ διδάσκαλος ἑρμηνεύειν ἅπασαν τὴν βίβλον τῆς Γενέσεως. «Χαίρω λέγει, καὶ εὐφραίνομαι ὁρῶν σήμερον τὴν τοῦ Θεοῦ Ἐκκλησίαν τῷ πλήθει τῶν οἰκείων τέκνων κοσμουμένην, καὶ μετὰ πολλῆς τῆς περιχαρείας ἅπαντας ὑμᾶς συνδεδραμηκότας. Ὅταν γὰρ ἀποβλέψω πρὸς τὰ φαιδρὰ ὑμῶν πρόσωπα, τεκμήριον μέγιστον ποιοῦμαι τῆς κατὰ ψυχὴν ὑμῶν ἡδονῆς· καθάπερ καὶ σοφός τις ἔλεγε· καρδίας εὐφραινομένης, θάλλει πρόσωπον. Διά τοι τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας ἀνέστην σήμερον, ὁμοῦ καὶ τῆς εὐφροσύνης ὑμῖν κοινωνήσων ταύτης τῆς πνευματικῆς, καὶ μηνυτὴς ὑμῖν γενέσθαι βουλόμενος τῆς παρουσίας τῆς ἁγίας Τεσσαρακοστῆς, τοῦ φαρμάκου λέγω τῶν ἡμετέρων ψυχῶν» (¹). Τριάκοντα

λία εἰς τὴν περικοπὴν τοῦ Ἀποστόλου: «ὅτε δὲ ἦλθε Πέτρος ...» ἐλέχθη ἀναμφιβόλως πρὸ τῆς ἑρμηνείας εἰς τὴν πρὸς Γαλάτας ἐπιστολήν· διότι ἐν τῇ ἑρμηνείᾳ τῆς περικοπῆς ταύτης ἐρρέθησαν πάνυ ὀλίγα. Περὶ τοῦ τόπου, ἔνθα ἐξεφωνήθη ἴδ. Τ. 3. σελ. 363.

(¹) Αἱ ὁμιλίαι εἰς τὴν Γένεσιν(67 et Montfaucon. Τ. 4.) ἐξεφωνήθησαν ἐν Ἀντιοχείᾳ, διότι ἐν τῇ λγ'. λέγεται, ὅτι τὴν ἡμέραν τῆς Ἀναστάσεως τοῦ Χριστοῦ ὡμίλησε περὶ τῆς Ἀναστάσεως τοῦ Δεσπότου· αἱ δὲ λέξεις (ὁμιλ. περὶ τῆς Ἀναστ.) ἐπαναλαμβάνονται, ὡς οὐ πρὸ πολλοῦ λεχθεῖσαι, ἐν τῇ ὁμιλ. πρὸς τοὺς ἐγκαταλείψαντας τὴν σύναξιν τῆς Ἐκκλησίας.... καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ, καὶ εἰς τοὺς νεοφωτίστους. Ἡ ὁμιλία αὕτη, ὡς καὶ ἡ εἰς τὴν ἐπιγραφὴν τῶν Πράξεων τῶν Ἀποστόλων, καὶ ὅτι ....., ἐξεφωνήθη, ὡς εἴρηται ἐν αὐτῇ σαφῶς, ἐν τῇ παλαιᾷ Ἐκκλησίᾳ, τῇ ὑπὸ τῶν Ἀποσοτόλων θεμελιωθείσῃ. δηλ. ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀντιοχείας (Τ. 3.

καὶ δύο ὁμιλίαι ἐξεφωνήθησαν κατὰ τὴν Τεσσαρακοστήν· καθ᾽ ἑκάστην προετίθει τότε ὁ μέγας διδάσκαλος τὴν τράπεζαν αὐτοῦ (¹), συνάπτων τῇ ἐξηγήσει τῶν πράξεων τῶν Πατριαρχῶν ἠθικὰς διδασκαλίας, ἁρμοδίας τῷ τε καιρῷ καὶ τῇ καταστάσει τῶν ἀκροατῶν. Κατὰ τὰς μεγάλας ἡμέρας τῶν Παθῶν τοῦ Χριστοῦ ὡμίλησε περὶ τοῦ προδότου, ἔπειτα περὶ τοῦ Σταυροῦ· καθ᾽ ἅπαν τὸ διάστημα τοῦ Πάσχα ὡμίλει καθ᾽ ἑκάστην(²). Ἐν μιᾷ δὲ τῶν τοῦ Πάσχα

50, 60). Συναρμόζοντες τὰς ὁμιλίας καὶ τοὺς λόγους τοὺς ἐκφωνηθέντας ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, ὡς πρὸ τοῦ 388, οὕτω καὶ μετὰ τοῦτο, καταλληλότερον χρόνον οὐχ εὑρήσομεν διὰ τὰς εἰς τὴν Γένεσιν ὁμιλίας τοῦ 388. Καὶ τὸ αὐτὸ ἔτος δείκνυσιν ἥ τε λέξις καὶ ἡ κατασκευὴ τῶν ὁμιλιῶν. Διότι α΄.] ἅπασαι αἱ ὁμιλίαι, αἱ ἐκφωνηθεῖσαι κατὰ τὰ πρῶτα δύο ἔτη ἤρχοντο διὰ μακρῶν προοιμίων, ὅπερ ὁρῶμεν ἐν ταῖς πρώταις λϐ΄. ὁμιλίαις εἰς τὴν Γένεσιν. Τοῦτο δὲ ὡς κακίαν ὑπέδειξε τῷ ῥήτορι φίλος τις αὐτοῦ, περὶ οὗ λέγει αὐτὸς (Τ. 3. σελ. 115, 120. ἴδ. σελ. 394. σημ. 3), καὶ μετὰ τοῦτο ἐν ταῖς ὁμιλίαις εἰς τὸν Ματθαῖον, εἰς τὰς Πράξεις καὶ εἰς τὰς ἐπιστ. ἤδη οὐχ ὁρῶμεν μακρὰ προοίμια. ϐ΄.] Ἐν ταῖς ὁμιλίαις εἰς τὴν Γένεσιν ἀπαντῶσι λίαν συνεχῶς ἐκφράσεις, ἅσπερ ὁρῶμεν ἐν ταῖς ὁμιλίαις τῶν δύο πρώτων ἐτῶν. Πολλάκις λέγει περὶ ἑαυτοῦ, ὅτι παρασκευάζει τράπεζαν, δεῖπνον· συνεχῶς παραβάλλει ἑαυτὸν πρὸς ἰατρόν, πρὸς γεωργόν· πολλάκις ἐπαινεῖ τὴν προσοχὴν τῶν ἀκροατῶν, κ.τ.λ.—

(¹) Τ. 4. ὁμιλ. ιγ΄. σελ. 99. Ἐν τῇ κδ΄. ὁμιλίᾳ λέγει (σελ. 228): «καὶ μάλιστα νῦν ὡς ἔτι ὁ βραχὺς οὗτος καιρὸς τῆς ἁγίας ὑμῖν ὑπολέλειπται Τεσσαρακοστῆς, δυνήσεσθε καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι καὶ πολλὴν παρὰ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐπισπάσασθαι. Οὐδὲ γὰρ πολλῶν ἡμερῶν δεῖται ὁ Δεσπότης οὐδὲ χρόνου, ἀλλ᾽ ἐὰν θελήσωμεν καὶ ἐν ταῖς δυσὶ ταύταις ἑβδομάσι πολλὴν τὴν διόρθωσιν τῶν ἐπταισμένων ἡμῖν ποιησόμεθα». Ἡ ὁμιλία τοίνυν αὕτη ἐλέχθη τῇ πέμπτῃ ἑβδομάδι, καὶ πιθανὸν ἡμέραν δευτέραν. Ἐν τῇ ιε΄. ὁμιλ. λέγει: «μὴ τοῦτο σκοπῶμεν, εἰ τὸ ἥμισυ τῆς ἁγίας Τεσσαρακοστῆς παρέδραμεν». Ἀλλὰ μετὰ τὴν ια΄. ὁμιλίαν ἐλέχθησαν ἔτι αἱ παραινέσεις πρὸς τοὺς ἰουδαΐζοντας χριστιανοὺς «μὴ ἐπὶ πολὺ χωρίζειν ἑαυτοὺς τῆς τοῦ Χριστοῦ ποίμνης», καὶ αἱ Κατηχήσεις (ὁμιλ. ιϐ΄. σελ. 91). Αἱ ὁμιλίαι αὗταί εἰσι νῦν ἄγνωστοι.—

(²) Ἴδ. τὴν ἀρχὴν τῆς λγ΄. ὁμιλ. καὶ τὴν τῆς ὁμιλίας «πρὸς τοὺς ἐγκαταλείψαντας τὴν σύναξιν . . . . . καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ. . .»